Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

600094118T

31.

# BABRII FABULAE

RECENSUIT

MICHAEL GITLBAUER

VINDOBONAE
SUMPTIBUS ET TYPIS CAROLI GEROLD FILII
MDCCCLXXXII.

# BABRII FABULAE

RECENSUIT

MICHAEL GITLBAUER

BIBLIOTHECA BODLEIANA
DOMINUS ILLUMINATIO MEA

VINDOBONAE
SUMPTIBUS ET TYPIS CAROLI GEROLD FILII
MDCCCLXXXII

Praeterito anno cum iuvenibus philologis proseminarium frequentaturis legendas proponere constituissem fabulas Babrianas, editionem criticam, quae fabulas quoque a Knoellio nuperrime e codice Vaticano erutas uno eodemque contineret volumine, adgressus sum adornare. praeterea ut id facerem movebat quod, cum nonnullos locos Babrianos in integrum me posse restituere putarem, nolebam quae coniectando adsecutus esse mihi videbar ephemeridi tradere; solent enim non pauca eaque haud spernenda quae isto modo publici iuris fiunt oblivionis obrui tenebris.

Itaque iam aestate superiore ut saltem tres quaterniones priores huius editionis discipulis offerrem curavi; qua festinatione factum est ut quibus numeris fabulae in editionibus **FC** Aug. decurrant ab altero demum quaternione medio in adparatu critico notaverim. inveniuntur tamen isti numeri etiam apud Halmium, cuius editio fabularum Aesopicarum in omnium est manibus; eius vero editionis numeros index huic libello additus altero quoque loco continet. quod vero spatio unius anni et dimidii demum elapso in lucem prodeat haec editio, disiecti membris poetae tribuendum est, quippe quae plura quam vulgo creditur in fabulis pedestri sermone nobis servatis insunt. congessi autem quidquid eius generis repperi, quamquam non is sum qui omnia ista fragmenta esse Babriana mordicus contenderim. si quid in fabulis restituendis admisi quod minus placeat, meminerint qui id reprehendant nec mihi omnia placere et quaecumque felicius alii restituent grato me accepturum animo; equidem enim, qui stellulis

lacunarumque signis invisum oculis reddere libellum nolebam, si haec fragmenta legentur persuadeaturque viris doctis relliquias non ita exiguas fabularum non solum choliambicarum, sed etiam iambicarum dactylicarumque nobis superesse sique unus alterve eorum exemplo incitatus meo vestigiis istis etiam adcuratius indagandis operam dederit, satis superque ero contentus.

Quod ad seriem fabularum adtinet, post fabulas in codice Athoo (**A**) servatas posui fabulas codicis Vaticani Graeci 777 (**V**), de quibus Knoellius ('Neue Fabeln des Babrius. Von Pius Knoell k. k. Gymnasialprofessor. Sitzungsberichte der phil. hist. Classe der kais. Akademie der Wissenschaften 1878. XCI Bd. S. 659') egit, ita quidem ut usque ad numerum 125 ordinem non deseruerim, tum vero fabulas adiecerim codicis Vaticani iam prius notas (126—129), denique a Knoellio primum editas (130—135) easque eo ordine quo in codice ipso leguntur. sequuntur fabulae fabularumque fragmenta a Dositheo, Tzetze, Suida (**S**), Georgide servata, deinde, quas restitui paraphrasin secutus Bodleianam (**B**; 'Fabularum Babrianarum paraphrasis Bodleiana. edidit P. Knoell.' Vindobonae 1877) editionemque a Furia (**F**; 'Fabulae Aesopicae quales ante Planudem ferebantur ex vetusto codice Abbatiae Florent. nunc primum erutae una cum aliis partim hinc inde collectis partim ex codd. depromptis Latina versione notisque exornatae cura ac studio Francisci de Furia'. Florentiae vel Lipsiae 1810) curatam, quacum ubique contuli recensionem Coraisianam (**C**; 'Παρέργων Ἑλληνικῆς Βιβλιοθήκης τόμος δεύτερος. Μύθων Αἰσωπείων συναγωγή'. Paris. 1810) fabulasque codicis Augustani (Aug.), quas I. G. Schneider edidit (Μῦθοι Αἰσώπειοι. Fabulae Aesopiae e codice Augustano nunc primum editae. recensuit et emendavit Io. Gottlob Schneider Saxo.' Vratislaviae 1812). eundem ordinem neglecto utpote in re dubia alphabetico adhibui in recensendis fragmentis fabularum iambicarum, dactylicarum, elegiacarum.

De codicum cognatione non est quod longius disseram; nam praeter eum codicem quo usus est qui paraphrasin conscripsit

Bodleianam Vaticano exemplari proximum et Suidae exemplar et, qui libri aetatem tulerunt, Athous ac Vaticanus quam maxime inter se differunt, ita ut diversis codicum generibus adscribendi sint; de qua re cf. Knoellium l. c. p. 669 sq., qui hanc codicum tabulam statuit:

archetypus

S(uidae exemplar) — x

x: A(thous) — y

y: V(aticanus) — z

z: B(odleianus)

Restat ut praemoneam, quae in codice **A** atramento nigro a manu recenti obducta sunt subposita lineola me indicasse; praeterea ubi in adnotatione critica scripturam inveneris vitiosam nec tamen nomen additum eius cui medicina debetur, Boiss(onadii), qui editionem principem publicavit ('Βαβρίου μυθίαμβοι. Babrii fabulae iambicae CXXIII nunc primum editae. Ioh. Fr. Boissonade litt. gr. pr. recensuit latine convertit annotavit'. Parisiis. 1844) velim scias esse emendationem; littera **L** notavi editionem Lachmannianam ('Babrii Fabulae Aesopeae. Carolus Lachmannus et amici emendarunt'. Berolini 1845), signum **L*** iis adposui lectionibus quibus plures eorum qui communi opera editionem Lachmannianam curarunt in adnotatione critica adstipulantur; quae ipse in emendandis restituendisve temptavi fabulis litterula **G** significavi. Denique quas iam non defendam editionis meae scripturas ingenue retractaverim: scribam enim 10, 12 κεχόλωμαι (anapaesto non mutato); 11, 2 ξένῃ; 12 b (in adn. crit.) ταχέως δ' ἀηδόν' ὀξύφωνον εὑρήκει; 24, 3 καὶ βάτραχοι δή; ib. 4 'ἀλλ'' εἶπε κλαύσας φρῦνος 'οὐχὶ παιάνων; 59, 18 τὸν φθόνον δ' ἔα κρίνειν; 73, 1 Ἰκτῖνος ᾠδὴν (ex **C**); 91, 4 ἐμβάντα ταῦρον τοῖς κέρασιν ἐξώθει; 123, 6 καὶ βραχίονος κέρδους; 209, 1 καρκίνος ἀνελθὼν.

Vindobonae, a. d. v. non. Oct. 1881.

# Errata.

p. 47 f. 92 epim. legas λόγοις pro λύγοις
p. 53 f. 98, 16 in adn. crit. scribendum ῥᾳδίως pro ῥαδίως
p. 54 f. 100 epim. scribe ζώειν pro ζῴειν
p. 70 f. 128, 9 in adn. crit. scribes σίτῳ; pro σίτω;
p. 90 f. 161 in adn. crit. lege p. 189, 16 pro p. 180, 16
p. 105 f. 188, 6 leges ὠφελείῃ pro ὠφελείᾳ
p. 106 f. 189, 8 legendum ὕβρεις pro ὄβρεις
p. 112 f. 200, 5 (non 4, nam numerus vitiose positus est) corrige σκιῆς pro σκιᾶς
p. 123 f. 223, 4 scribas ἱκανὴ pro ἱκανή

# ΒΑΒΡΙΟΥ

## ΜΥΘΙΑΜΒΟΙ ΑΙΣΩΠΕΙΟΙ.

---

# ΠΡΟΟΙΜΙΟΝ.

Γενεὴ δικαίων ἦν τὸ πρῶτον ἀνθρώπων,
ὦ Βράγχε τέκνον, ἣν καλοῦσι χρυσείην.
* * * * * * * * * * * *
τρίτη δ' ἀπ' αὐτῶν ἐγένεθ' ἥ ⟨γε⟩ χαλκείη,
μεθ' ἣν γενέσθαι φασὶ δῖαν ἡρώων.
πέμπτη σιδηρῆ· ῥίζα καὶ γένος χεῖρον.
ἐπὶ τῆς δὲ χρυσῆς καὶ τὰ λοιπὰ τῶν ζῴων
φωνὴν ἔναρθρον εἶχε καὶ λόγους ᾔδει·
ἀγοραὶ δὲ τούτων ἦσαν ἐν μέσαις ὕλαις.
ἐλάλει δὲ πέτρη καὶ τὰ φύλλα τῆς πεύκης,
ἐλάλει δὲ κῦμα, Βράγχε, νηὶ καὶ ναύτῃ,
στρουθοὶ δὲ συνετὰ πρὸς γεωργὸν ὡμίλουν.
ἐφύετ' ἐκ γῆς πάντα μηδὲν αἰτούσης,
θνητῶν δ' ὑπῆρχε καὶ θεῶν ἑταιρείη.
μάθοις δ' ἂν οὕτω ταῦτ' ἔχοντα καὶ γνοίης
ἐκ τοῦ σοφιστοῦ, τοῦ γέροντος Αἰσώπου,
μύθους φράσαντος τῇδε δευτέρῃ μούσῃ.
ὧν νῦν ἕκαστον ἀντιθεὶς ἐμῇ μνήμῃ

---

Βαλεβρίου μυθίαμβοι Αἰσώπειοι κατὰ στοιχεῖον. στίχοι χωλιαμβικοί **A**.

Προοίμιον. post. v. 2 lacunam unius v. statuit Boiss. [3—5] **L** 3 αὐτῆς rec. **A** ἐγένεθ' ἥ ⟨γε⟩ **G**] ἐγενήθη **A** 4 δῖαν Eberhard] θείαν **A** 5 μεμπτὴ **A** πέμπτης Lachmannus, qui post σιδηρῆ non distinguebat σιδηρᾶ **A** 6 δὲ χρυσῆς Duebner] δὲ...σῆς **A** 9 πέτρα **A** 10 δὲ κῦμα **G**] ἐλάλει δ'..... ἰχθὺς erasis quinque litteris **A** δὲ πόντιος ἰχθὺς et δέ τ' ἰχθὺς adscripsit Minas; ἐλάλει δὲ πόντος **L*** 15 σοφιστοῦ, τοῦ γέροντος **G**] σοφοῦ ἡμῶν γέροντος **A** σοφοῦ γέροντος ἡμὶν Seidler 16 τῇδε δευτέρῃ μούσῃ **G**] τῆς ἐλευθέρας μούσης **A** 17 ἀντιθεὶς **G**] ἂν θείης **A** ἂν θέλῃς Lachmann ἐμῇ **A**] ἐνὶ Lachmann

μελισταγές ϲ’ οἴνῳ τὸ κηρίον θήϲω,
πικρῶν ἰάμβων ϲκληρὰ κῶλ’ ἀληθεῦϲαι.

## 1

Ἄνθρωποϲ ἦλθεν εἰϲ ὄροϲ κυνηγήϲων,
τόξου βολῆϲ ἔμπειροϲ· ἦν δὲ τῶν ζῴων
φυγή τε πάντων καὶ φόβου δρόμοϲ πλήρηϲ·
λέων δὲ τοῦτον προὐκαλεῖτο θαρϲήϲαϲ
αὐτῷ μάχεϲθαι. ‘μεῖνον’ εἶπε ‘μὴ ϲπεῦδε’
ἄνθρωποϲ αὐτῷ ‘μηδ’ ἐπελπίϲῃϲ νίκῃ·
τῷ δ’ ἀγγέλῳ μου πρῶτον ἐντυχὼν γνώϲῃ,
πῶϲ οὗτοϲ ἤδη πικρόϲ· ⟨ἀλλὰ κἄμ’ εἴϲῃ,
ἐπέρχομαι γὰρ καὐτόϲ’⟩. εἶτα τοξεύει
μικρὸν διαϲτάϲ. χὠ μὲν οἰϲτὸϲ ἐκρύφθη
λέοντοϲ ὑγραῖϲ χολάϲιν· ὁ δὲ λέων δείϲαϲ
ὥρμηϲε φεύγειν ἐϲ νάπαϲ ἐρημαίαϲ.
τούτου δ’ ἀλώπηξ οὐκ ἄπωθεν εἱϲτήκει.
ταύτηϲ δὲ θαρϲεῖν καὶ μένειν κελευούϲηϲ
‘οὔ με πλανήϲειϲ’ φηϲίν ‘οὐδ’ ἐνεδρεύϲειϲ·
ὅπου γὰρ οὕτω φοβερὸν ἄγγελον πέμπει,
ἢν αὐτὸϲ ἐπιβῇ μοί ⟨γε⟩, τότε τί ποιήϲω;’

Ὅτι δεῖ ἐκ τῶν προϲφερομένων γινώϲκειν τὴν ἑκάϲτου διάθεϲιν. καὶ ὅτι ἡ ϲοφία τῆϲ δυνάμεωϲ διαφέρει.

## 2

Ἀνὴρ γεωργὸϲ ἀμπελῶνα ταφρεύων
καὶ τὴν δίκελλαν ἀπολέϲαϲ ἀνεζήτει
μή τιϲ παρόντων τήνδ’ ἔκλεψεν ἀγροίκων.
ἠρνεῖθ’ ἕκαϲτοϲ. οὐκ ἔχων δ’ ὃ ποιήϲει
εἰϲ τὴν πόλιν κατῆγε πάνταϲ ὁρκώϲων·
τῶν γὰρ θεῶν δοκοῦϲι τοὺϲ μὲν εὐήθειϲ
ἀγροὺϲ κατοικεῖν, τοὺϲ δ’ ἐϲωτέρω τείχουϲ

---

18 ϲ’ οἴνῳ τὸ **G**] ϲοι νῷ τὸ **A** ϲοι λῷϲτε Duebner 19 κῶλ’ ἀληθεῦϲαι **G**] θηλάϲαι **A** θηλύναϲ **L***

**1 A B** 11—3 φυγῆϲ **A** 4 τοῦτον **A**] λέων δὲ μόνοϲ προεκαλεῖτο αὐτὸν πρὸϲ μάχην **B** μοῦνοϲ Schneidewin θαρϲῆϲαι **A** 5 αὐτῷ **A** ϲπεύϲῃϲ Fix 6 ἄνθρωποϲ **L**] ἄνθρωποϲ **A** 8 sq. πῶϲ οὗτοϲ ἤδη πικρόϲ· ⟨ἀλλὰ.... καὐτόϲ⟩? **G**] τί ϲοι ποιητόν ἐϲτι **A** ‘ἴδε τὸν ἐμὸν ἄγγελον, οἷόϲ ἐϲτι· καὶ δὴ τότε ἐπέρχομαί ϲοι κἀγώ’ **B** 16 πικρὸν Duebner 17 ἢν αὐτὸϲ ἐπιβῇ μοί ⟨γε⟩, τότε τί ποιήϲω **G**] πῶϲ αὐτὸϲ ἤδη πικρόϲ (φοβερόϲ Duebner) ἐϲτι γιγνώϲκω **A** ὅπου γὰρ τοιοῦτον πικρὸν ἄγγελον ἔχει, εἰ αὐτὸϲ ἐπέλθῃ μοι, τί ἂν ποιήϲω; **B**

**2 A** — 2 ἀνεζήτει Halm] ἐζήτει **A** 3 τιϲ] τῶν **A**

εἶναί τ' ἀληθεῖς καὶ τὰ πάντ' ἐποπτεύειν.
ὡς δ' εἰσιόντες τὰς πύλας ἐπὶ κρήνης
τοὺς πόδας ἔνιζον κἀπέθεντο τὰς πήρας,
κῆρυξ ἐφώνει χιλίας ἀριθμήσειν
μήνυτρα σύλων ὧν ὁ θεὸς ἐσυλήθη.
ὁ δὲ τοῦτ' ἀκούσας εἶπεν· 'ὡς μάτην ἥκω·
κλέπτας γὰρ ἄλλους πῶς ὁ θεὸς ἂν εἰδείη,
ὃς τοὺς ἑαυτοῦ φῶρας οὐχὶ γινώσκει,
ζητεῖ δὲ μισθοῦ μή τις οἶδεν ἀνθρώπων;'
"Οτι χρὴ ἀπιστεῖν τοῖς ὑπισχνουμένοις ὧν οὔκ εἰσι δεσπόται.

## 3

Αἶγάς ποτ' εἰς ἔπαυλιν αἰπόλος κλείζων
μιῆς ἀπειθοῦς ἐν φάραγγι τρωγούσης
[ἐπὶ σηκὸν ἄγειν θ', ὡς αἱ μὲν ἦλθον, αἱ δ' οὔπω,]
κόμην γλυκεῖαν αἰγίλου τε καὶ σχίνου
τὸ κέρας κατῆξε μακρόθεν λίθῳ πλήξας.
τὴν δ' ἱκέτευε· 'μή, Χίμαιρα, συνδούλη,
πρὸς τοῦ σε Πανός, ὃς νάπας ἐποπτεύει,
τῷ δεσπότῃ, Χίμαιρα, μή με μηνύσῃς·
ἄκων γὰρ ηὐστόχησα τὸν λίθον ῥίψας.'
ἡ δ' εἶπε· 'καὶ πῶς ἔργον ἐκφανὲς κρύψω;
τὸ κέρας κέκραγε, κἂν ἐγὼ σιωπήσω.'
"Οτι τὰ δημοσίᾳ ἁμαρτηθέντα κατ' οὐδένα τρόπον χρὴ κρύπτειν.

## 4

Ἁλιεὺς σαγήνην, ἣν νεωστὶ βεβλήκει,
ἀνεῖλε· τοὔψου δ' ἔτυχε ποικίλου πλήρης.
τῶν δ' ἰχθύων ὁ λεπτὸς εἰς βυθὸν φεύγων
ὑπεξέδυνε δικτύου πολυτρήτου,
ὁ μέγας δ' ἀγρευθεὶς εἰς τὸ πλοῖον ἡπλώθη.
[σωτηρία πώς ἐστι καὶ κακῶν ἔξω
τὸ μικρὸν εἶναι· τὸν μέγαν δὲ τῇ δόξῃ
σπανίως ἴδοις ἂν ἐκφυγόντα κινδύνων.]

---

14 ὁ θεὸς Eberhard] θεὸς **A** θεὸς γ' m. rec. **A** ἠδείη **A** epimythium: οὔκ εἰσι δεσπόται **G**] εἰσὶδες πίτα· **A** εἰσεῖδες πιστά Boiss. πίστιν Dindorf

**3 A B** 4 — 2.3.4 (β α γ supra scripsit m. 2) **A** 2 μιᾶς **A** [3] Schneidewin; om. **B** 5 **κατῆξε** Lachmann (secutus tetrastichon)] κατέαξε **A** 6 **Χίμαιρα, συνδούλη, G**] χίμαιρα συνδούλη **A** 8 Χίμαιρα **G**] χίμαιρα **A**

**4 A B** 8 — 2 ἀνεῖλε· τοὔψου **G**] ἀνείλετ'· ὄψου **A** ἀνεῖλκεν· ὄψου Eberhard [6—8] Eberhard; = promyth. **B** 6 πῶς **A** 8 κινδύνων Bergk] **κίνδυνον A** κινδύνους **B**

## 5

Ἀλεκτορίϲκων ἦν μάχη Ταναγραίων,
οἷϲ θυμὸν εἶναί φαϲιν οἷον ἀνθρώποιϲ.
τούτων ὁ λειφθείϲ (τραυμάτων γὰρ ἦν πλήρηϲ)
ἔκυπτ' ἐϲ οἴκου γωνίην ὑπ' αἰϲχύνηϲ·
ὁ δ' ἄλλοϲ εὐθὺϲ ἐπὶ τὸ δῶμα πηδήϲαϲ
ἐπικροτῶν τε τοῖϲ πτεροῖϲ ἐκεκράγει.
καὶ τὸν μὲν ἀετόϲ τιϲ ἐκ ϲτέγουϲ ἄραϲ
ἀπῆλθ'· ὁ δ' ἀδεῶϲ ἀμφέβαινε θηλείαιϲ,
ἀμείνονα ϲχὼν τἀπίχειρα τῆϲ ἥττηϲ.
[ἄνθρωπε, καὶ ϲὺ μή ποτ' ἴϲθι καυχήμων
ἄλλου ϲε πλεῖον τῆϲ τύχηϲ ἐπαιρούϲηϲ·
πολλοὺϲ ἔϲωϲε καὶ τὸ μὴ καλῶϲ πράττειν.]

## 6

Ἁλιεὺϲ θαλάϲϲηϲ πᾶϲαν ᾑόνα ξύων
λεπτοκάλαμόν τε τὸν γλυκὺν βίον ζώων
μικρόν ποτ' ἰχθὺν ὁρμιῆϲ ἀφ' ἱππείηϲ
ἤγρευϲεν, οὐ τῶν εἰϲ τάγηνον ὡραίων.
ὁ δ' αὐτὸν οὕτωϲ ἱκέτευεν ἀϲπαίρων·
'τί ϲοι τὸ κέρδοϲ; ἢ τιν' ὦνον εὑρήϲειϲ;
οὐκ εἰμὶ γὰρ τέλειοϲ, ἀλλά με πρῴην
πρὸϲ τῇδε πέτρῃ φυκὶϲ ἔπτυϲεν μήτηρ.
νῦν οὖν ἄφεϲ με, μὴ μάτην μ' ἀποκτείνῃϲ.
ἐπὴν δὲ πληϲθεὶϲ φυκίων θαλαϲϲαίων
μέγαϲ γένωμαι, πλουϲίοιϲ πρέπων δείπνοιϲ,
τότ' ἐνθάδ' ἐλθὼν ὕϲτερόν με ϲυλλήψῃ.'
τοιαῦτα μύζων ἱκέτευε κἀϲπαίρων,
ἀλλ' οὐκ ἔμελλε τὸν γέροντα θωπεύϲειν·
ἔφη δὲ πείρων αὐτὸν ὀξέῃ ϲχοίνῳ·
'ὁ μὴ τὰ μικρά, πλὴν βέβαια, τηρήϲαϲ
μάταιόϲ ἐϲτιν ἂν ἄδηλα θηρεύῃ.'

---

**5 A** 1—2 (Ταναγραῖοι ἀλεκτορίϲκοι) 9 (τἀπίχειρα) **S B** 7 — 2 οἷϲ φαϲιν εἶναι θυμὸν ὥϲπερ ἀνθρώποιϲ **S** 4 ἔκυπτ' ἐϲ Haupt] ἐκρύπτετ' **A** 5 ἐπὶ **B**] εἰϲ **A** 8 ἀδεῶϲ Eberhard] ἀφόβωϲ **B** ἄλλοϲ **A** ἀμφίβαινε pr. **A** [10—12] **L** = promyth. **B** 11 πλεῖον **L**] πλέον **A**

**6 A** 6 **S** (ὦνοϲ) — 1 ἠιόνα **A** 2 λεπτοκάλαμόν τε **G**] λεπτῷ καλάμῳ **A** λεπτῷ τε καλάμῳ Boiss. 4 οὐ Lachmann] ἐκ **A** ὡραῖον **A** 6 ἢ **G**] ἣ **A S** τιν' ὦνον εὑρήϲειϲ; **S**] πόϲου με πωλήϲειϲ **A** ἔπτυϲεν Bergk] ἔπτυϲε **A** 10 θαλαϲϲίων **A** 13 κἀϲπαίρων **L**] καὶ ϲπαίρων **A** 15 ὀξέῃ **L**] ὀξείῃ **A** 17 ἂν (i. e. ἃ ἂν) **G**] ἂν **A**

## 7

Ἄνθρωπος ἵππον εἶχε. τοῦτον εἰώθει
κενὸν παρέλκειν, ἐπετίθει δὲ τὸν φόρτον
ὄνῳ γέροντι. πολλὰ τοιγαροῦν κάμνων
ἐκεῖνος ἐλθὼν πρὸς τὸν ἵππον ὡμίλει·
'ἄν μοι θελήσῃς συλλαβεῖν τι τοῦ φόρτου,
τάχ' ἂν γενοίμην σῷος· εἰ δὲ μή, θνήσκω.'
ὁ δ' 'οὐ προάξεις;' εἶπε 'μηδὲν ὀχλήσῃς.'
εἷρπεν σιωπῶν, τῷ κόπῳ δ' ἀπαυδήσας
πεσὼν ἔκειτο νεκρός, ὡς προειρήκει.
τὸν ἵππον οὖν παρ' αὐτὸν εὐθέως στήσας
ὁ δεσπότης καὶ πάντα τὸν γόμον λύων
ἐπ' αὐτὸν ἐτίθει τὴν σάγην τε τοῦ κτήνους
καὶ τὴν ὀνείην προσεπέθηκεν ἐκδείρας.
ὁ δ' ἵππος 'οἴμοι τῆς κακῆς' ἔφη 'γνώμης·
οὗ γὰρ μετασχεῖν μικρὸν οὐκ ἐβουλήθην,
τοῦτ' αὐτό μοι πᾶν ἐπιτέθεικεν ἡ χρείη.'

## 8

Ἄραψ κάμηλον ἀχθίσας ἐπηρώτα
πότερ' ἀναβαίνειν μᾶλλον ἢ κάτω βαίνειν
αἱροῖτο. χὠ κάμηλος οὐκ ἄτερ μούσης
εἶφ'· 'ἡ γὰρ ὀρθὴ τῶν ὁδῶν ἀπεκλείσθη.'

Ὁ λόγος εὔθετος πρὸς ἄνδρας διεστραμμένους καὶ τῆς εὐθείας ὁδοῦ ἐκκλίνοντας.

## 9

Ἁλιεύς τις αὐλοὺς εἶχε καὶ σοφῶς ηὔλει·
καὶ δή ποτ' ὄψον ἐλπίσας ἀμοχθήτως
πολὺ πρὸς αὐλῶν ἡδυφωνίην ἥξειν,
τὸ δίκτυον θεὶς ἐτερέτιζεν εὐμούσως.
ἐπεὶ δὲ φυσῶν ἔκαμνε καὶ μάτην ηὔλει,
βαλὼν σαγήνην ἔλαβεν ἰχθύας πλείστους.
ἐπὶ γῆς δ' ἰδὼν σπαίροντας ἄλλον ἀλλοίως

---

**7 A** 12—13 (σάγη et ὀνεία) **S B** 12 — 7 μηδὲν ὀχλήσῃς **G**] μὴ δ' ἐνοχλήσῃς **A** μή μ' ἐνοχλήσῃς Schneidewin 8 εἷρπε **A** 12 τὴν σάγην **A S** ὀνεία)] τὸν γόμον **S** (σάγη) 13 ὀνείαν **S** 16 χρεία **A**

**8 A** — epimyth. καὶ τῆς εὐθείας] τῆς εὐθείας καὶ **A**

**9 A** — 3 ἡδυφωνίην] ἡδυφωνείην **A** ηξειν **A** ἕλξειν Eberhard 4 ἐτέριζεν **A** 5 ἔκαμε Duebner **L** 7 ἀσπαίροντας **A**

τοcαῦτ' ἐκερτόμηcε τὸν βόλον πλύνων·
'ἄναυλα νῦν ὀρχεῖcθε. κρεῖccον ἦν ὕμας
πάλαι χορεύειν, ἡνίκ' εἰc χοροὺc ηὔλουν.'
[οὐκ ἔcτιν ἀπόνωc οὐδ' ἀπόντα κερδαίνειν·
ὅταν ταμὼν δὲ τοῦθ' ἕλῃc ὅπερ βούλει,
τοῦ κερτομεῖν coι καιρόc ἐcτι καὶ παίζειν.]

Ὁ μῦθοc λέλεκται πρὸc τοὺc ματαίωc παρὰ τὸ δέον τι ἐργαζομένουc.

## 10

Αἰcχρῆc τιc ἤρα καὶ κακορρύπου δούληc
ἰδίηc ἑαυτοῦ καὶ παρεῖχεν αἰτούcῃ
ἅπανθ' ἑτοίμωc· ἡ δὲ χρυcίου πλήρηc,
cύρουcα λεπτὴν πορφύρην ἐπὶ κνήμηc,
πάντη μάχην cυνῆπτεν οἰκοδεcποίνῃ.
τὴν δ' Ἀφροδίτην ὥcπερ αἰτίην τούτων
λύχνοιc ἐτίμα καὶ καθ' ἡμέρην πᾶcαν
ἔθυεν ηὔχεθ' ἱκέτευεν ἠρώτα,
ἕωc ποτ' αὐτῶν ἡ θεὸc καθευδόντων
ἦλθεν καθ' ὕπνουc καὶ φανεῖcα τῇ δούλῃ
'μή μοι χάριν cχῇc ὡc καλήν cε ποιούcῃ·
τούτῳ χολοῦμαι' φηcίν 'ᾧ καλὴ φαίνῃ.'
[ἅπαc ὁ τοῖc αἰcχροῖcιν ὡc καλοῖc χαίρων
θεοβλαβήc τίc ἐcτι καὶ φρέναc πηρόc.]

## 11

Ἀλώπεκ' ἐχθρὴν ἀμπέλων τε καὶ κήπων
ξένην θελήcαc περιβαλεῖν τιc αἰκίῃ,
τὴν κέρκον ἅψαc καὶ λίνων τι προcδήcαc
ἀφῆκε φεύγειν. τὴν δ' ἐπίcκοποc δαίμων
ἐc τὰc ἀρούραc τοῦ βαλόντοc ὡδήγει
τὸ πῦρ φέρουcαν. ἦν δὲ ληίων ὥρη
καὶ καλλίπαιc ἄμητοc ἐλπίδων πλήρηc.

---

8 τοcαῦτ' A] τοιαῦτ' Sauppe 9 ὀρχεῖcθαι A ὑμᾶc A ubique [11—13] Duebner 11 οὐδ' ἀπόντα G] οὐδ' ἀλύοντα A 12 ταμὼν G] βαλὼν A καμὼν Halm τοῦτο θέλῃc A 13 τὸ A τότε Ahrens

**10** A 1 S (ἤρα) B 6 — 1 αἰcχρᾶc A S cαπρᾶc τινεc S nonnulli libri κακοτρόπου S B 2 ἰδίαc αὐτοῦ A αἰτούcηc A 4 πορφύραν A 5 πάντη G] πάcῃ A πᾶcαν L* 7 ἡμέραν A 10 ἦλθε A 12 χολοῦμαι Meineke] κεχόλωμαι A [13—14] Duebner 13 αἰcχροῖc A

**11** A epimyth. apud Georgidem, Gnom. I p. 43 B 9 — 1 ἐχθρὰν A 2 ξένην G] ξένῃ A 3 λίνων G] λίνον A λίνου τι? Eberhard 5 βλαβόντοc Bergk 7 ἀμητὸc A

ὁ δ' ἠκολούθει τὸν πολὺν κόρον κλαίων
οὐδ' εἶδεν αὐτοῦ τὴν ἅλωνα Δημήτηρ.
[χρὴ πρᾷον εἶναι μηδ' ἄμετρα θυμοῦσθαι.
ἔστιν τις ὀργῆς νέμεσις, ἣν φυλαττοίμην,
αὐτοῖς βλάβην φέρουσα τοῖς δυσοργήτοις.]
Θυμῷ χρῆσθαι κατὰ τῶν πέλας ἀμέτρῳ καλὸν οὐκ ἔνι.

## 12

Ἀγροῦ χελιδὼν μακρὸν ἐξεπωτήθη,
εὗρεν δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
ἀηδόν' ὀξύφωνον· ἡ δ' ἀπεθρήνει
τὸν Ἴτυν ἄωρον ἐκπεσόντα τῆς ὥρης.
ἐκ τοῦ μέλους δ' ἔγνωσαν αἱ δύ' ἀλλήλας,
καὶ δὴ προσέπτησάν τε καὶ προσωμίλουν.
ἡ μὲν χελιδὼν εἶπε· φιλτάτη, ζώεις;
πρῶτον βλέπω σε σήμερόν μέ τ' ἀθράκτους·
ἀεί τις ἡμᾶς πικρὸς ἔσχισεν δαίμων.
καὶ παρθένοι γὰρ χωρὶς ἦμεν ἀλλήλων.
ἀλλ' ἔλθ' ἐς ἀγρὸν καὶ πρὸς οἶκον ἀνθρώπων·
σύσκηνος ἡμῖν καὶ φίλη κατοικήσεις,
ὅπου γεωργοῖς κοὐχὶ θηρίοις ᾄσεις.
ὕπαιθρον ὕλην λεῖπε καὶ παρ' ἀνθρώποις
ὁμώροφόν μοι δῶμα καὶ στέγην οἴκει.
τί σοι δροσίζει νῶτον ἔννυχος κοίτη
καὶ καῦμα θάλπει; πάντα δ' ἄγρι' ἠντήκει.
ἄγ', ἔφη, σεαυτὴν σοφὰ λαλοῦσα μηνύσῃς.
τὴν δ' αὖτ' ἀηδὼν ὀξύφωνος ἠμείφθη·
ἔα με πέτραις ἐμμένειν ἀοικήτοις

---

8 κόρον **G**] κόπον **A** κότον Seidler [10—12] Eberhard = promyth. **B** 12 **A V** 216 (cf. Knoell l. c. p. 680 sq.). Aldi, qui inter tetrasticha a. 1505 p. 57 hanc fabulam edidit, exemplaria duo (a 1 et 2); codex Gud(ianus) conlatus ab Eberhardio, **B** 2 **C** 149 Babrianam esse hanc fabulam primus vidit Neveletus. equidem cum ex duabus eam conflatam esse censeam, rem ita instituam, ut priore hoc loco textum integrum proponam subiecta adnotatione critica, dein altero loco duas, quae inde expiscandae sint, fabulas restituere adgrediar. — 1 Χελιδὼν ἀγροῦ **V** μακρὰν **V** a Gud. ἐξεποτήθη **A** 4 ὥροις Gud. ζώης **C** p. 90 5–6 om. a Gud. 5 προσέστησαν **V** 7 χή a Gud. εἶπε **A**] φησὶ a 2 Gud. ἔφη a 1 ζώης **V** ζώοις Gud. 8 μέ τ' ἀθράκτους **G**] μετὰ θράκην **A V** a Gud. 9—10 om. a Gud. 9 πικρὸς om. **V** ἔσχισε **A V** 10 post 13 legitur in **V** 11 εἰς **A V** 13 οὐχὶ **A** 14—18 om. a Gud. 16 σε **A** νῶτον **V**] νυκτὸς **A** ἔννυχος **A**] ἔνδροσος **V** κοίτη **V**] στείβη (i. e. στίβη) **A** 17 δ' ἄγρι' ἠντήκει **G**] δ' ἀγρώτην τήκει **A** καὶ κατακαίει **V** δ' ἀγρότιν τέρπει **L** 18 ἄγ', ἔφη, **G**] ἄγε δὴ **A** μηνύσῃς **G**] μήνυσον **A** ἄγε μήνυσον σαυτὴν σοφή περ οὖσα **V**

καὶ μή μ᾽ ὀρεινῆς ὀργάδος cὺ χωρίccῃς.
μετὰ τῆς ᾽Αθηνᾶς ἄνδρα καὶ πόλιν φεύγω·
οἶκος δέ μοι πᾶς κἀπίμιξις ἀνθρώπων
λύπην παλαιῶν cυμφορῶν ἀναξαίνει.
[παραμυθία τίς ἐcτι τῆς κακῆς μοίρης
λόγος cοφὸς καὶ μοῦcα καὶ φυγὴ πλήθους·
λύπη δ᾽, ὅταν τις⟨οἶcιν⟩ εὐθενῶν ὤφθῃ,
τούτοις ταπεινὸς αὖθις ὢν cυνοικήcῃ.]

῞Οτι cυμφέρει τῷ ἠδικημένῳ πόρρω γενέcθαι τῶν εἰς ἀνάμνηcιν αὐτὸν φερόντων κακῶν.

## 12a

᾽Αγροῦ χελιδὼν μακρὸν ἐξεπωτήθη,
εὗρεν δ᾽ ἐρήμοις ἐγκαθημένην ὕλαις
ἀηδόν᾽ ὀξύφωνον· ἡ δ᾽ ἀπεθρήνει
τὸν ῎Ιτυν ἄωρον ἐκπεcόντα τῆς ὥρης. 4
χὴ μὲν χελιδὼν εἶπε· ‛φιλτάτη, ζώεις; 7
ἀεί τις ἡμᾶς πικρὸς ἔcχιcεν δαίμων· 9
καὶ παρθένοι γὰρ χωρὶς ἦμεν ἀλλήλων. 10
ὕπαιθρον ὕλην λεῖπε καὶ παρ᾽ ἀνθρώποις 14
ὁμώροφόν μοι δῶμα καὶ cτέγην οἴκει.᾽ 15
τὴν δ᾽ αὖτ᾽ ἀηδὼν ὀξύφωνος ἠμείφθη· 19
‛ἔα με πέτραις ἐμμένειν ἀοικήτοις· 20
πᾶς μοι γὰρ οἶκος κἀπίμιξις ἀνθρώπων 23
λύπην παλαιῶν cυμφορῶν ἀναξαίνει.᾽ 24
[λύπη ᾽cθ᾽, ὅταν τις⟨οἶcιν⟩ εὐθενῶν ὤφθῃ, 27
τούτοις ταπεινὸς αὖθις ὢν cυνοικήcῃ.] 28

---

21—22 om. a Gud. 21 ὀρχάδος **A** cὺ χωρίcῃς **A** cυγχωρήcεις **V** 22 τῆς ᾽Αθηνᾶς **G**] τὰς ᾽Αθήνας **A** ἄνδρα καὶ πάλιν μετ᾽ ἀθήνας ἐκφεύγω **V** 23 κἀπίμιξις **L**] καὶ ἐπίμιξις **A** ἥ τε μίξις a 2 Gud. ἐπίμιξίς τ᾽ **V** a 1 24 λύπην **A V B**] μνήμην a Gud. 25–28 om. **V** a Gud. 27 δὲ **A** οἶcιν Duebner] om. **A** οἷς ποτ᾽ Haupt εὐθενῶν ὤφθῃ Duebner] εὐcθενῶν ὀφθῇ **A** 28 ὢν Duebner] ὧν **A** epimyth. ὅτι—κακῶν **A V**] ὁ μῦθος δηλοῖ, ὅτι κρεῖττον ἐν ἐρήμοις ζῆν ἀλύπως ἢ cυνοικεῖν ἐν πόλεcι τοῖς κακοῖς (κρεῖτειν Gud.) a Gud.

**12** a cf. **B** 2 [῞Οτι] τὸν λυπηθέντα ἔκ τινος τύχης καὶ τὸν τόπον φεύγειν ἐθέλειν, ἔνθα ἡ λύπη cυνέβη. (cf. 14–15 = 27–28, quamquam sententiam aliquantulum variavit, qui hos versus fecit.) ᾽Αηδόνι cυνεβούλευε χελιδὼν τοῖς ἀνθρώποις εἶναι ὁμώροφον (cf. 9=15) καὶ cύνοικον ὡς αὐτή. ἡ δὲ εἶπεν· ‛οὐ θέλω τὴν λύπην τῶν παλαιῶν μου cυμφορῶν (cf. 13=24) μεμνῆcθαι καὶ διὰ τοῦτο τὰς ἐρήμους (cf. 11=20 **A** 2) οἰκῶ. — 5 χὴ scripsi cum a Gud. 12 πᾶς μοι γὰρ οἶκος **G**] οἶκος δέ μοι πᾶς libri 14 λύπη ᾽cθ᾽ **G**] λύπη δ᾽ libri. ceterum vv. 25—28 compositos esse tum demum, cum iam ex duabus fabulis facta esset una, non negaverim

## 12b

* * * *

ἐκ τοῦ μέλους δ' ἔγνωσαν αἱ δύ' ἀλλήλας 5
καὶ δὴ προσέπτησάν τε καὶ προσωμίλουν. 6
ἡ μὲν χελιδὼν εἶπε· 'φιλτάτη, ζώοις. 7
πρῶτον βλέπω σε σήμερόν μέ τ' ἀθράκτους. 8
τί σοι δροσίζει νῶτον ἔννυχος κοίτη 16
καὶ καῦμα θάλπει; πάντα δ' ἄγρι' ἠντήκει. 17
ἀλλ' ἔλθ' ἐς ἀγρὸν καὶ πρὸς οἶκον ἀνθρώπων· 11
σύσκηνος ἡμῖν καὶ φίλη κατοικήσεις, 12
ὅπου γεωργοῖς κοὐχὶ θηρίοις ᾄσεις.' 13
'ἄγ'' ἔφη 'σεαυτὴν σοφὰ λαλοῦσα μηνύσῃς 18
καὶ μή μ' ὀρεινῆς ὀργάδος σὺ χωρίσσῃς· 21
μετὰ τῆς 'Αθηνᾶς ἄνδρα καὶ πόλιν φεύγω.' 22
[παραμυθία τίς ἐστι τῆς κακῆς μοίρης 25
λόγος σοφὸς καὶ μοῦσα καὶ φυγὴ πλήθους.] 26

## 13

Αὔλαξι λεπτὰς παγίδας ἀγρότης πήξας
γεράνους σπορευτῶν πολεμίας συνειλήφει.
τοῦτον πελαργὸς ἱκέτευε χωλεύων
(ὁμοῦ γὰρ αὐταῖς καὶ πελαργὸς ἡλώκει)·
'οὐκ εἰμὶ γέρανος, οὐ σπόρον καταφθείρω·
πελαργός εἰμι (χἠ χρόη με σημαίνει),
πτηνῶν πελαργὸς εὐσεβέστατον ζῴων.
τὸν ἐμὸν τιθηνῶ πατέρα καὶ νοσηλεύω.'
κἀκεῖνος 'ὦ πελαργέ, τίνι βίῳ χαίρεις
οὐκ οἶδα' φησίν· 'ἀλλὰ τοῦτο γινώσκω,
ἔλαβόν σε σὺν ταῖς ἔργα τἀμὰ πορθούσαις.
ἀπολῇ μετ' αὐτῶν τοιγαροῦν, μεθ' ὧν ἥλως.'
[κακοῖς ὁμιλῶν ὡς ἐκεῖνοι μισήσῃ,
κἂν μηδὲν αὐτὸς τοὺς πέλας καταβλάψῃς.]

'Ο λόγος διδάσκει φεύγειν ἡμᾶς τὰς τῶν πονηρῶν ἀνθρώπων κοινωνίας, ἵνα μὴ τῇ αὐτῶν κακίᾳ συναπολώμεθα.

---

**12b** fortasse initium hoc fuit:
'Αγροῦ χελιδὼν μακρὸν ἐξεπωτήθη,
ἀηδόνα δέ τιν' ὀξύφωνον εὑρήκει·
3 ζώοις scripsi cum a Gud.] χαίροις Tyrwhitt

**13 A B**14 — 2 σπορευτῶν **G**] σποραίων **A** σποράων Fix συνειλήφη pr. **A** 8 νοσιλεύω **A** [13—14] **L** 13 ἐκείνοις μισηθήσῃ **A**

## 14

Ἄρκος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει·
νεκρὸν γὰρ αὐτοῦ cῶμ' ἔφαcκε μὴ cύρειν.
πρὸc ἣν ἀλώπηξ εἶπε· 'μᾶλλον ᾑρούμην,
εἰ νεκρὸν εἷλκεc, τοῦ δὲ ζῶντοc οὐχ ἥπτου.'
[ὁ ζῶντα βλάπτων μὴ νεκρόν με θρηνείτω.]

## 15

Ἀνὴρ Ἀθηναῖόc τιc ἀνδρὶ Θηβαίῳ
κοινῶc ὁδεύων, ὥcπερ εἰκόc, ὡμίλει.
ῥέων δ' ὁ μῦθοc ἦλθε μέχριc ἡρώων·
μακρὴ μὲν ἄλλωc ῥῆcιc οὐδ' ἀναγκαίη·
τέλοc δ' ὁ μὲν Θηβαῖοc υἱὸν Ἀλκμήνηc
μέγιcτον ἀνδρῶν ὄντα καὶ θεῶν ὕμνει·
ὁ δ' ἐξ Ἀθηνῶν ἔλεγεν, ὡc πολὺ κρείccων
Θηcεὺc γένοιτο καὶ τύχηc ὁ μὲν θείηc
ὄντωc λέλογχεν, Ἡρακλῆc δὲ δουλείηc.
λέγων δ' ἐνίκα· cτωμύλοc γὰρ ἦν ῥήτωρ.
ὁ δ' ἄλλοc ὡc Βοιωτὸc οὐκ ἔχων ἴcην
λόγοιc ἅμιλλαν εἶπεν ἀγρίῃ μούcῃ·
'πέπαυcο· νικᾷc. τοιγαροῦν χολωθείη
Θηcεὺc μὲν ἡμῖν, Ἡρακλῆc δ' Ἀθηναίοιc.'

Ὅτι οὐ δεῖ τοὺc μεγιcτᾶναc κινεῖν εἰc ὀργὴν κατὰ τῶν ὑπεξουcίων. εἰc ματαιολογίαc καὶ ἔριδαc.

## 16

Ἄγροικοc ἠπείληcε νηπίῳ τίτθη
κλαίοντι· 'παῦcαι, μή cε τῷ λύκῳ ῥίψω.'
ὁ λύκοc δ' ἀκούcαc τήν τε γραῦν ἀληθεύειν
νομίcαc ἔμεινεν ὡc ἕτοιμα δειπνήcων,
ἕωc ὁ παῖc μὲν ἑcπέρηc ἐκοιμήθη,
αὐτὸc δὲ πεινῶν καὶ λύκοc χανὼν ὄντωc
ἀπῆλθε νωθραῖc ἐλπίcιν παρεδρεύcαc.
λύκαινα δ' αὐτὸν ἡ cύνοικοc ἠρώτα·

---

**14 A** 1 **S** (ἐκτόπωc) **B** 13 — 1 ἄρκοc **S B**] ἄρκτοc **A** nonnulli libri **S** 2 ἔφαcκεν **A** [5] Eberhard
**15 A B** 10 — 6 ὄντα **G**] νῦν δὲ **A** cὺν δὲ Hercher θεῶν Minas] θεὸν **A**
**16 A B** 1 — 7 ἐλπίcι **A**

'πῶς οὐδὲν ἄρας ἦλθες ὥσπερ εἰώθεις;'
ὁ δ' εἶπε· 'πῶς γάρ, ὡς γυναικὶ πιστεύων;'

Διδάσκει ἡμᾶς ὁ μῦθος ὅτι οὐ χρὴ πᾶσι πιστεύειν, γυναικὶ δὲ ἥκιστα μεγάλα καὶ πάμπολλα ἐπαγγελλομένῃ. πρὸς τὸν κεναῖς ἀπάταις ἐξαπατηθέντα.

## 17

Αἴλουρος ὄρνεις οἰκίης ἐνεδρεύων
ὡς θύλακός τις πασσάλων ἀπηρτήθη.
τὸν δ' εἶδ' ἀλέκτωρ πινυτὸς ἀγκυλογλώχιν
καὶ ταῦτ' ἐκερτόμησεν ὀξὺ φωνήσας·
'πολλοὺς μὲν οἶδα θυλάκους ἰδὼν ἤδη·
οὐδεὶς δ' ὀδόντας εἶχε ζῶντος αἰλούρου.'

Πρὸς τοὺς ἀπὸ πείρας γνωρισθέντας κακούργους, καὶ μηκέτι ταῖς τούτων ὑποκρίσεσί τινα ἐξαπατᾶσθαι.

## 18

Βορέῃ λέγουσιν ἡλίῳ τε τοιαύτην
ἔριν γενέσθαι, πότερος ἀνδρὸς ἀγροίκου
ὁδοιποροῦντος τὴν σίσυρναν ἐκδύσει.
βορέης δὲ φύσας πρῶτος οἷος ἐκ Θρᾴκης
βίῃ 'νόμιζεν τὸν φοροῦντα συλήσειν·
ὁ δ' οὐ μεθῆκε μαλλόν, ἀλλὰ ῥιγώσας
καὶ πάντα κύκλῳ χερσὶ κράσπεδα σφίγξας
ἐκράτησε πέτρης νῶτον ἐξοχῇ κλίνας.
ὁ δ' ἥλιος τὸ πρῶτον ἡδὺς ἐκκύψας
ἀνῆκεν αὐτὸν τοῦ δυσηνέμου ψύχους,
ἔπειτα δ' αὖ προσῆγε τὴν ἕλην πλείω·
καὶ καῦμα τὸν γεωργὸν εἶχεν ἐξαίφνης,
αὐτὸς δὲ ῥίψας συρίην ἐγυμνώθη.

---

9 ὥσπερ A] ὤνπερ Eberhard ὡς πρὶν Bergk 10 ὡς G] ὃς A γυναικὸς A πιστεύων G] πιστεύω A πῶς γάρ τις πιστεύσει γυναικί; B πῶς γάρ τις γυναικὶ πιστεύσει; Eberhardius in adnotatione critica

**17** A — 4 ὀξύφων' ᾄσας Nauck epim. ἐξαπατῶντας Boiss.

**18** A 1—3 S (σισύρα) 16 Georgides Gnom. I p. 9 B 17 C 306 — 1 βορέᾳ A 3 σίσυρναν Toup] σισύραν A S 4 βορέας A δ' ἐφύσα G. Hermann 5 βίᾳ A 'νόμιζεν G] νομίζειν A νομίζων Minas συ(λ)ήσειν A 6 μᾶλλον A C 8 ἐκράτησε G] ὁ δὲ ῥιγῶν καὶ κρατήσας ἀμφοτέραις χερσὶν τὸ ἱμάτιον B καθῆστο A v. 8 ante 7 conlocavit Bergkius πέτρης... κλίνας A] ἔβαλε τὴν κεφαλὴν ἔν τινι πέτρας ὀπῇ τὴν ψόαν ἔξω ἐάσας B 11 ἕλην G. Hermann] ἄλλην vel ἅλλην A 13 συρίην (cf. H. Stephani Thes. L. G. in v. σύραι: 'συρίαν Hesych. esse ait παχεῖαν χλαῖναν: vel ἀπὸ τῆς σισύρνης, vel quoniam in Cappadocia fiunt; hos autem esse Syros.' at derivandum videtur a σῦρ (onus), cuius υ longum esse haud quisquam negaverit) G] τὴν σισύραν A

[βορρᾶϲ μὲν οὕτω ϲυγκριθεὶϲ ἐνικήθη·
λέγει δ' ὁ μῦθοϲ· ʽπρᾳότητα, παῖ, ζήλου.
ἀνύϲειϲ τι πειθοῖ μᾶλλον ἢ βίᾳ ῥέζων.']
Μῦθοϲ παραινῶν, ὅτι οὐ χρὴ φιλόνικον εἶναι, ἀλλὰ πραΰτητι καὶ πειθοῖ ἀνύειν τὰ ἀνήκοντα.

## 19

Βότρυϲ μελαίνηϲ ἀμπέλου παρωρείου
ἀπεκρέμαντο. τοὺϲ δὲ ποικίλη πλήρειϲ
ἰδοῦϲα κερδὼ πολλάκιϲ μὲν ὡρμήθη
πηδῶϲα ποϲϲὶν πορφυρῆϲ θιγεῖν ὥρηϲ
ἦν γὰρ πέπειροϲ κεἰϲ τρύγητον ἀκμαίη.
καμοῦϲα δ' ἄλλωϲ (οὐ γὰρ ἴϲχυεν ψαύειν)
παρῆλθεν οὕτω βουκολοῦϲα τὴν λύπην·
ʽὄμφαξ ὁ βότρυϲ, οὐ πέπειροϲ, ὡϲ ᾤμην.'
Ὁ μῦθοϲ ἐλέγχει τοὺϲ εἰϲ ἀνέκβατα κοπιῶνταϲ πράγματα καὶ τούτων ἀϲτοχοῦνταϲ τρόπουϲ ψευδεῖϲ προβαλλομένουϲ.

## 20

Βοηλάτηϲ ἅμαξαν ἦγεν ἐκ κώμηϲ.
τῆϲ δ' ἐμπεϲούϲηϲ εἰϲ φάραγγα κοιλώδη
δέον βοηθεῖν αὐτὸϲ ἀργὸϲ εἱϲτήκει,
τῷ δ' Ἡρακλεῖ προϲηύχεθ', ὃν μόνον πάντων
θεῶν ἀληθῶϲ προϲεκύνει τε κἀτίμα.
αὐτὸϲ δ' ἐπιϲτὰϲ εἶπε· ʽτῶν τροχῶν ἅπτου
καὶ τοὺϲ βόαϲ κέντριζε. τοῖϲ θεοῖϲ δ' εὔχου,
ὅταν τι ποιῇϲ καὐτόϲ, ἢ μάτην εὔξῃ.'

## 21

Βόεϲ μαγείρουϲ ἀπολέϲαι ποτ' ἐζήτουν
ἔχονταϲ αὐτοῖϲ πολεμίην ἐπιϲτήμην.

---

[14—16] Eberhard 15—16 = **B** promyth. 16 βίᾳ τι πράττων Georgides epim. πιθῶ **A**

**19 A** 6—7 **S** (αἰώρα) 8 Etym. M. (ὄμφαξ) Phavorinus p. 350 Dind. **B** 18 — 1 παρωρείου **G**] παρωρείῃ **A** παρ' αἰώρῃ Boiss. 2—3 πλήρειϲ ἰδοῦϲα κερδὼ Ahrens] ἰδοῦϲα πλήρειϲ **A** 5 ἀκμαία **A** 6 pro hoc versu **S** habet hos duos: ὡϲ δ' οὐκ ἀφικνεῖτ', ἀλλ' ἔκαμνε πηδῶϲα, οὐδὲν κρεμαϲτῆϲ ϲχοῦϲα πλεῖον αἰώραϲ. huius fabulae nescio an **A** formam praebeat in brevius contractam καμοῦϲα **B** Nauck] κάμνουϲα **A** ἴϲχυε Boiss. 8 οὐ **A** Phavor.] μὴ Et. M. epim. προβαλλομένουϲ anonymus apud Boiss.] προβαλλομένων **A**

**20 A V** 18 (cf. Knoell l. c. p. 671 sq.) — 1 εἰϲ κόμην **V** 3 αὐτὸϲ Fix] αὐτὸν **A** ὁ δὲ **V** 4 προϲεύχετο μόνω ἁπάντων **V** 5 καὶ τίμα **A** θεῶν ἐκείνω ὡϲ πολλὰ διαμένω **V** 6 αὐτὸϲ **V**] θεὸϲ **A** ὁ θεὸϲ Eberhard 7 κέντιζε **A**

**21 A V** 17 (cf. Knoell l. c. p. 670 sq.) — 2 πολεμίαν **A**

καὶ δὴ cυνηθροίζοντο πρὸc μάχην ἤδη
κέρατ᾽ ἀποξύναντεc. εἷc δέ τιc λίην
γέρων ἐν αὐτοῖc πολλὰ γῆν ἀροτρεύcαc
'οὗτοι μὲν ἡμᾶc' εἶπε 'χερcὶν ἐμπείροιc
κόπτουcι καὶ cφάζουcι χωρὶc αἰκίηc·
ἢν δ᾽ εἰc ἀτέχνουc ἐμπέcωμεν ἀνθρώπουc,
διπλοῦc τότ᾽ ἔcται θάνατοc. οὐ γὰρ ἐλλείψει
τὸν βοῦν ὁ θύcων, κἂν μάγειροc ἐλλείψῃ.'
[ὁ τὴν παροῦcαν πημονὴν φυγεῖν cπεύδων
ὁρᾶν ὀφείλει, μή τι χεῖρον ἐξεύρῃ.]

Ὁ μῦθοc τοῦτο δηλοῖ, ὅτι ἄμεινον δουλεύειν cοφοῖc καὶ ἐπιεικέcιν ἢ δεcπόζεcθαι ὑπὸ cκαιῶν τε καὶ ἀπαιδεύτων.

## 22

Βίου τιc ἤδη τὴν μέcην ἔχων ὥρην
(νέοc μὲν οὐκ ἦν, οὐδέπω δὲ πρεcβύτηc)
λευκὰc μελαίναc μιγάδαc ἐκλόνει χαίταc·
εἶτ᾽ εἰc ἔρωταc ἐcχόλαζε καὶ κώμουc.
ἤρα γυναικῶν δύο, νέηc τε καὶ γραίηc.
νέον μὲν αὐτὸν ἡ νεῆνιc ἐζήτει
βλέπειν ἐραcτήν, cυγγέροντα δ᾽ ἡ γραίη.
τῶν οὖν τριχῶν ἑκάcτοθ᾽ ἡ μὲν ἀκμαίη
ἔτιλλεν ἃc ηὕριcκε λευκανθιζούcαc,
ἔτιλλε δ᾽ ἡ γραῦc, εἰ μέλαιναν ηὑρήκει,
ἕωc φαλακρὸν ἡ νέη τε χἠ γραίη
ἔθηκαν ἀνεκάc τι τριχῶν ἀποcπῶcαι.
[ἀεὶ γὰρ ἕν γε τιλλόμενοc ἐγυμνοῦτο.
φάcκει δὲ μῦθοc τοῦτο πᾶcιν ἀνθρώποιc·
ἐλεεινὸc ὅcτιc εἰc γυναῖκαc ἐμπίπτει·
ἀεὶ γὰρ ἕν γε δακνόμενοc ἐγυμνοῦτο.]

---

4 ἀποξύνοντεc **A** 5 πολλὴν **V** γῆν **V**] γάρ ἦν **A** quod iam dudum correxerat Lachmannus 7 κόπτουcι καὶ cφάζουcι Knoell] φάζουcι καὶ κόπτουcι **V** cφάζουcι καὶ κτείνουcι **A** αἰκίηc **A**] cικίηc **V** 8 ἂν **V** ἀτεχνεῖc **V** v. 10 ante v. 9 invenitur in **A**; emendaverat iam Boiss. 9 ἔcτι **V** 10 θύω **V** 11—12 om. **V**, quos versus iam uncis saepserat **L** 11 φυγεῖν Fix] φεύγειν **A** epim. τε om. **V**

**22** **A** 8—9 **S** (ἑκάcτοτε) **B** 15 — 3 μελαίναιc Bergk 4 κώμουc Minas] κώμαc **A** 5 νέαc **A** γραίαc **A** 6 νεᾶνιc **A** 7 γραῖα **A** 8 ἀκμαία **A** 9 εὕριcκε **S** 11 νέα **A** γραῖα **A** 12 ἔθηκαν ἀνεκάc τι **G**] ἔθηκαν ἑκάcτη τῶν **A** ἀποcπῶcαι Eberhard] ἀποcπῶcα **A** 11—12 cf. **B**: ἕωc ἂν αὐτὸν φαλακρὸν ἐποίηcαν καὶ ὄνειδοc ἁπάντων et tetrastichon extrem. πᾶcιν ὡράθη γέλωc [13—16] Duebner 14—16 = **B** promyth. 14 μῦθοc φάcκει pr. **A** 16 ἐγυμνοῦτο **G**] γυμνοῦται **A** v. 13 est idem qui v. 16, sed variam eamque rectam praebet scripturam

## 23

Βοηλάτης ἄνθρωπος εἰς μακρὴν ὕλην
ταῦρον κεράστην ἀπολέcας ἀνεζήτει.
ἔθηκε δ' αὐτὸν ταῖς ὀρεινόμοις νύμφαις,
Ἑρμῇ νομαίῳ, Πανί, τοῖς πέριξ ἄρδην
λοιβὴν παραcχεῖν, εἰ λάβοι γε τὸν κλέπτην.
ὄχθον δ' ὑπερβὰς τὸν καλὸν βλέπει ταῦρον
λέοντι θοίνην· δυcτυχὴς δ' ἐπαρᾶται
καὶ βοῦν προcάξειν, εἰ φύγοι γε τὸν κλέπτην.
[ἐντεῦθεν ἡμᾶς τοῦτ' ἔοικε γινώσκειν,
ἄβουλον εὐχὴν τοῖς θεοῖcι μὴ πέμπειν,
ἐκ τῆς πρὸς ὥραν μὴ φορουμένης λύπης.]

## 24

Γάμοι μὲν ἦcαν Ἡλίου θέρους ὥρῃ,
τὰ ζῷα δ' ἱλαροὺς ἦγε τῷ θεῷ κώμους.
καὶ βάτραχοι δὲ λιμνάδας χοροὺς ἦγον·
'οὐκ', εἶπε κλαύσας φρῦνος, 'ἀντὶ παιάνων
τοῦτ' ἐστὶν ἡμῖν, φροντίδων δὲ καὶ λύπης·
ὃς γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὐαίνει,
τί μὴ οὐ πάθωμεν τῶν κακῶν, ἐὰν γήμας
ὅμοιον αὐτῷ παιδίον τι γεννήσῃ;'
[χαίρουσι πολλοὶ τῶν ὑπερβολῇ κούφων
ἐφ' οἷς ἄγαν μέλλουσιν οὐχὶ χαιρήσειν.]

## 25

Γνώμη λαγωοὺς εἶχε μηκέτι ζώειν,
πάντας δὲ λίμνης εἰς μέλαν πεσεῖν ὕδωρ,
ὁθούνεκ' εἰσὶν ἀδρανέστατοι ζῴων,
ψυχὰς ἄτολμοι, μοῦνον εἰδότες φεύγειν.
ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦσαν εὐρείης

---

**23** **A** **B** 16 — 1 μακρὰν **A** 3 αὐτὸν **G**] εὐχὴν **A** εὔξατο δὲ τῷ θεῷ **B** 4 ἄρδην **G**] ἄρνα **A** 5 λάβοι γε Duebner] λάβοιτο **A** 8 καὶ βοῦν **B** (i. e. 'ἕτερον βοῦν')] βοῦς **A** [9—11] Duebner; = **B** promyth. 11 μὴ φορουμένης **G**] ἐκφορουμένης **A** (cf. 6, 4 ubi ἐκ pro οὐ habet **A**)

**24** **A** 4—5 (παιάν), 6—8 (αὐήνας) **S** **B** 21 — 3 λιμνάδας Lachmann] λιμναίους **A** 4 'οὐκ' **G**] οἷς **A** ὁ δ' **S** παύσας **A** ἀντὶ **G**] οὐχὶ **A** **S** παιᾶνος **S** 5 φροντίδος **S** 6 ὃς **A**] εἰ **S** 7 τί μὴ οὐ Hartung] τί μὴ **A** **S** τί οὐ **B** ἐὰν **A**] εἰ **B** ὅταν **S** 8 αὐτῶι **A** [9—10] **L**; = **B** promyth.

**25** **A** 3—4 (ἄτολμοι), 6 (ἀκταίη), 7 (ὀκλαδίας) **S** **B** 101 — 4 ψυχὰς **S**] ψυχάς τ' **A** μοῦνον **A** **S**] μᾶλλον nonnulli libri **S**

καὶ βατράχων ὅμιλον εἶδον ἀκταίων
βαθέην ἐc ἰλὺν ὀκλαδιcτὶ πηδώντων,
ἐπεcτάθηcαν καί τιc εἶπε θαρcήcαc·
'ἄψ νῦν ἴωμεν· οὐκέτι χρεὼν θνήcκειν·
ὁρῶ γὰρ ἄλλουc ἀcθενεcτέρουc ἥμων.'

## 26

Γέρανοι γεωργοῦ κατενέμοντο τὴν χώρην
ἐcπαρμένην νεωcτὶ πυρίνῳ cίτῳ.
ὁ δ' ἄχρι πολλοῦ cφενδόνην κενὴν cείων
ἐδίωκεν αὐτὰc τῷ ψόφῳ καταπλήccων.
αἱ δ' ὡc ἐπέcχον cφενδονῶντα τὰc αὔραc,
κατεφρόνηcαν λοιπόν, ὥcτε μὴ φεύγειν,
ἕωc ἐκεῖνοc οὐκέθ' ὡc πρὶν εἰώθει,
λίθουc δὲ βάλλων ἠλόηcε τὰc πλείουc.
αἱ δ' ἐκλιποῦcαι τὴν ἄρουραν ἀλλήλαιc
'φεύγωμεν' ἐκραύγαζον 'εἰc τὰ Πυγμαίων.
ἄνθρωποc οὗτοc οὐκέτ' ἐκφοβεῖν ἥμαc
ἔοικεν, ἤδη δ' ἄρχεταί τι καὶ πράccειν.'

Παραίνεcιν ὁ λόγοc ἔχει δεῖν ταῖc ἐκ λόγων παραινέcεcι τοὺc πταίονταc εἴκειν, ἵνα μὴ ταῖc ἐξ ἔργων ὀψέ ποτε πειραθεῖεν ὀδύναιc.

## 27

Γαλῆν δόλῳ τιc cυλλαβών τε καὶ δήcαc
ἔπνιγεν ὑδάτων cυναγγίῃ κοίλῃ.
τῆc δ' αὖ λεγούcηc 'ὡc κακὴν χάριν τίνειc,
ὃν ὠφέλουν θηρῶcα μῦc τε καὶ cαύραc,'
,ἐπιμαρτυρῶ coι' φηcίν ,ἀλλὰ καὶ πάcαc
ἔπνιγεc ὄρνειc, πάντα δ' οἶκον ἠρήμουc,
βλάπτουcα μᾶλλον ἤπερ ὠφελοῦc' ἥμαc.'

Πρὸc τοὺc μετρίωc μὲν ὠφελοῦνταc, βλάπτονταc δὲ τὰ μεγάλα εὔκαιρόc ἐcτιν ὁ λόγοc.

---

7 βαθεῖαν εἰc **S** ὀκλαcτὶ **S**

**26 A** 1—2 (πυρίνῳ cίτῳ) **S** epim. Georgides Gnom. I. 31, 5 — 1 τὴν om. **S** χώραν **A** 4 ψόφῳ Seidler] φόβῳ **A** 5 ἐπέcχον **A**] ἐπέγνων Seidler 8 βαλὼν **A** 10 τὰc **A** 11 ἄνθρωποc **L**] ἄνθρωποc **A** epim. τοὺc om. **A** εἴκειν Georgides] ἥκειν **A**

**27 A V** 30 (Knoell p. 672) = **F** 355 = **C** 406 — 1 δήcαc **F**] πνίγων **A V** 2 cυναγγίᾳ **A** ἔπνιγεν (ἔπνιγε **F**) βαλὼν ὑδάτων cυνεχεῖα (cυνεχεία **F**) **V F** ὕδατοc ἐν cυναγκείᾳ (item omisso κοίλῃ) Bernhardy 3 δ' αὖ **A**] δὲ **V F** 4 ὃν Bergk] ὧν **A V F** ὧν c' **L*** post 6 **A F** addunt: κρεῶν ἀνέψγαc (τ' [δ' Bergk] ἀνέψγεc Boiss. Bergk) ἄγγοc, ὥcτε τεθνήξῃ 7 βλάπτουcιν μᾶλλον ἤπερ ἡμᾶc ὠφελοῦcιν **V**

## 28

Γέννημα φρύνου συνεπάτησε βοῦς πίνων.
ἐλθοῦσα δ' αὐτόν (οὐ παρῆν γὰρ) ἡ μήτηρ
παρὰ τῶν ἀδελφῶν ποῦ ποτ' ἦν ἐπεζήτει.
'τέθνηκε, μῆτερ· ἄρτι γάρ, πρὸ τῆς ὥρης,
ἦλθεν πάχιστον τετράπουν, ὑφ' οὗ κεῖται
χηλῇ μαλαχθέν.' ἡ δὲ φρῦνος ἠρώτα,
φυσῶσ' ἑαυτήν, εἰ τοσοῦτον ἦν ὄγκῳ
τὸ ζῷον. οἱ δὲ μητρί 'παῦε, μὴ πρίου·
θᾶσσον σεαυτήν' εἶπον 'ἐκ μέσου ῥήξεις,
ἢ τὴν ἐκείνου πιότητα μιμήσῃ.'

Ὅτι ἐπικίνδυνον τοῖς ἐλάττοσι παρατείνεσθαι τοῖς μείζοσι.

## 29

Γέρων ποθ' ἵππος εἰς ἀλητὸν ἐπράθη·
ζευχθεὶς δ' ὑπὸ μύλην ⟨εἵλεθ'⟩ ἑσπέρην πᾶσαν
καὶ δὴ στενάξας εἶπεν· 'ἐκ δρόμων οἵων
καμπτῆρας οἵους ἀλφιτειογυρεύω.'
[μηδὲν ἐπαναίρου πρὸς τὸ τῆς ἀκμῆς γαῦρον·
πολλοῖς τὸ γῆρας ἐν κόποις ἀνηλώθη.]

## 30

Γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείην.
τὸν δ' ἠγόραζον ἄνδρες, ὃς μὲν εἰς στήλην
(υἱὸς γὰρ αὐτῷ προσφάτως ἐτεθνήκει),
ὁ δὲ χειροτέχνημ' ὡς θεὸν καθιδρύσων.
ἦν δ' ὀψὲ χὡ λιθουργὸς οὐκ ἐπεπράκει
συνθέμενος αὐτοῖς εἰς τὸν ὄρθρον αὖ δεῖξαι
ἐλθοῦσιν. ὁ δὲ λιθουργὸς εἶδεν ὑπνώσας
αὐτὸν τὸν Ἑρμῆν ἐν πύλαις ὀνειρείαις,

---

**28** **A** **V** 211 (Knoell p. 680) = **F** 378 = **C** 420 — 1 Φρύνου γένημα **V** 2 αὐτόσ' Eberhard αὐτόσε **F** 4 μήτηρ **A** ὥρας **A V** 5 ἦλθε **A** 4—5 ἄρτι γάρ, πρὸ τῆς ὥρης (ὥρας **A V**), ἦλθεν **A V**, distinxit **G**] εἶπον, ἄρτι πρὸ τῆς ὥρας· ἦλθε γὰρ **F** 6 μαλαχθείς **F** παλαχθείς Hercher 7 τοιοῦτον **V** 8 οἱ δέ· παύου μὶ πρίου μῆτερ **V** 10 πιότητα **C**] ποιότητα **A V**

**29** **A** **B** 22 — 2 ⟨εἵλεθ'⟩ ἑσπέρην πᾶσαν **G**] πᾶσαν ἑσπέρην **A** πᾶσαν ἑσπέρην ἤλει Eberhard 4 ἀλφιτειογυρεύω **G**] ἀλφίτοισι γυρεύω **A** ἀλφιτεῦσι γυρεύω Meineke [5—6] **L** 5 μηδὲν ἐπαναίρου **G**] μὴ λίαν ἐπαίρου (ἐπαιρέσθω τις **B**) **A B** 6 ἐν κόποις **B C**] εἰς πόνους **A**

**30** **A** 1 **S** (λύγδινα) — 1 Ἑρμείαν **S** 4 χειροτέχνημ' Lachmann] χειροτέχνης **A** 5 καὶ ὁ **A** 6 δείξειν Eberhard 7 εἶδεν **A**] εἶπεν Halm ἔνθεν Ahrens

ʽεἶεν᾿ λέγοντα ʽτἀμὰ νῦν ταλαντεύῃ·
ἓν γάρ με, νεκρὸν ἢ θεόν, cὺ ποιήcειc.᾿

## 31

Γαλαῖ ποτ᾿ εἶχον καὶ μύεc πρὸc ἀλλήλουc
ἄcπονδον ἀεὶ πόλεμον αἱμάτων πλήρη·
γαλαῖ δ᾿ ἐνίκων. οἱ μύεc δὲ τῆc ἥττηc
ἐδόκουν ὑπάρχειν αἰτίην cφίcιν ταύτην,
ὅτι cτρατηγοὺc οὐκ ἔχοιεν ἐκδήλουc,
ἀεὶ δ᾿ ἀτάκτωc ὑπομένουcι κινδύνουc.
εἵλοντο τοίνυν τοὺc γένει τε καὶ ῥώμῃ
γνώμῃ τ᾿ ἀρίcτουc εἰc μάχην τε γενναίουc,
οἳ cφᾶc ἐκόcμουν καὶ διεῖλον εἰc ἴλαc
λόχουc τε καὶ φάλαγγαc ὥcπερ ἀνθρώπουc.
ἐπεὶ δ᾿ ἐτάχθη πάντα καὶ cυνηθροίcθη,
τινά τιc γαλῆν μῦc προὐκαλεῖτο θαρcήcαc
οἵ τε cτρατηγοὶ λεπτὰ πηλίνων τοίχων
κάρφη μετώποιc ἁρμόcαντεc ἀχρεῖα
ἡγοῦντο παντὸc ἐκφανέcτατοι πλήθουc,
πάλιν δὲ φύζα τοὺc μύαc κατειλήφει.
ἀλλ᾿ οἱ μὲν οὖν cωθέντεc ἦcαν ἐν τρώγλαιc·
τοὺc δὲ cτρατηγοὺc εἰcτρέχονταc οὐκ εἴα
τὰ περιccὰ κάρφη τῆc ὀπῆc ἔcω δύνειν·
μόνοι ᾿φθάρηcαν αὐτόθεν μυχῶν πρόcθεν.
Νίκη δ᾿ ἐπ᾿ αὐτοῖc καὶ τρόπαιον εἱcτήκει,
γαλῆc ἑκάcτηc μῦν cτρατηγὸν ἑλκούcηc.
[λέγει δ᾿ ὁ μῦθοc· ʽεἰc τὸ ζῆν ἀκινδύνωc
τῆc λαμπρότητοc ηὐτέλεια βελτίων.᾿]

## 32

Γαλῆ ποτ᾿ ἀνδρὸc εὐπρεποῦc ἐραcθεῖcῃ

---

9 ʽεἶεν᾿ **G**] εἶδεν **A** ʽcὺ δὴ᾿ Meineke ταλαντεύειc Bergk 10 ἓν **A**] ἢ Lachmann

**31** **A** 9—10 (φρήτρα) et 17 (τρώγλη) **S** **B** 20 — 6 ἀτάκτουc **A** 7 εἵλοντο rec. **A**] εἷλον τε pr. **A** 9 ἐc **S** ἴλαc rec. **A**] εἴλαc pr. **A** φρήτραc **S** 10 ὥcπερ ἀνθρώπουc (ἀνθρώποιc nonnulli libri) **S**] ὡc παρ᾿ ἀνθρώποιc Eberhard ὡc ἐν ἀνθρώποιc **A** 12 τινά **G**] καί **A** τότε Ahrens; post 15 hunc versum collocavit Boiss. 13 τειχῶν **A** 14—15 ἀχρεῖα ἡγοῦντο **A**] ᾿Ατρείδαιc ἰcοῦντο Seidler 17 ἀλλ᾿ οἱ nonnulli libri **S**] ἄλλοι **A** **S** ἄλλοι Eberhard 20 ᾿φθάρηcαν **G**] διεφθάρηcαν **B** θ᾿ ἑάλωcαν **A** ἑάλων **L***  αὐτόθι **A** [20] Fix 21 Νίκη Eberhard] νίκη **A** [23—24] **L** 24 ηὐτέλεια Fix] ἡ εὐτέλεια **B** ἐντέλεια **A**

**32** **A** 5—6a (ἐν τῷ μέρει), 7b—8 (βαθύcτρωτοc κοίτη) **S** 1 Julian. ep. 58, 5 **B** 19 = **C** p. 356[2] **F** 48 = **C** p. 356[1] = **C** 159[1] = Aug. 50 — 1 γαλῆ... ἐραcθεῖcη Julian.

δίδωcι cεμνὴ Κύπριc, ἡ πόθων μήτηρ,
μορφὴν ἀμεῖψαι καὶ λαβεῖν γυναικείην,
καλῆc γυναικόc, ἧc τίc οὐ κιχὼν ἤρα;
ἰδὼν δ' ἐκεῖνοc (ἐν μέρει γὰρ ἡλώκει)
γαμεῖν ἔμελλεν. ἠρμένου δὲ τοῦ δείπνου
παρέδραμεν μῦc· τὸν δὲ τῆc βαθυcτρώτου
καταβᾶcα κοίτηc ἐπεδίωκεν ἡ νύμφη.
γάμου δὲ δαιτὴ λέλυτο χαίκαλὸc παίξαc
Ἔρωc ἀπῆλθε· τῇ φύcει γὰρ ἡττήθη.

Πρὸc τοὺc τὴν φύcιν τῶν πραγμάτων ὁρᾶν ὡc ἔχει μὴ βουλομένουc, τῇ δὲ τούτων φαντασίᾳ πλανωμένουc ἔλεγχον ὁ μῦθοc ἔχει.

## 33

Δυcμαὶ μὲν ἦcαν Πλειάδων, cπόρου δ' ὥρη,
καί τιc γεωργὸc πυρὸν εἰc νεὸν cπείραc
ἐφύλαccεν ἑcτώc· καὶ γὰρ ἄκριτον πλήθει
μέλαν κολοιῶν ἔθνοc ἦλθε δυcφώνων
ψᾶρέc τ' ὄλεθροc cπερμάτων ἀρουραίων.
τῷ δ' ἠκολούθει cφενδόνην ἔχων κοίλην
παιδίcκοc. οἱ δὲ ψᾶρεc ἐκ cυνηθείηc
ἤκουον εἰ τὴν cφενδόνην ποτ' ᾐτήκει,
καὶ πρὶν βαλεῖν ἔφευγον. εὗρε δὴ τέχνην
ὁ γεωργὸc ἄλλην τόν τε παῖδα φωνήcαc
ἐδίδαcκεν· 'ὦ παῖ· χρὴ γὰρ ὀρνέων ἧμαc
cοφὸν δολῶcαι φῦλον· ἡνίκ' ἂν τοίνυν
ἔλθωc', ἐγὼ μέν' εἶπεν 'ἄρτον αἰτήcω,
cὺ δ' οὐ τὸν ἄρτον, cφενδόνην δέ μοι δώcειc.'
οἱ ψᾶρεc ἦλθον κἀνέμοντο τὴν χώρην.
ὁ δ' ἄρτον ᾔτει, καθάπερ εἶχε cυνθήκην·
οἱ δ' οὐκ ἔφευγον. τῷ δ' ὁ παῖc λίθων πλήρη
τὴν cφενδόνην ἔδωκεν· ⁞ὁ δὲ γέρων ῥίψαc
τοῦ μὲν τὸ βρέγμα, τοῦ δ' ἔτυψε τὴν κνήμην,

4 τιc **A** οὐ κιχὼν **G**] οὐκ ἔχων **A** οὐκ ἰδὼν G. Hermann οὐχ ἑκὼν Lachmann οὐκ ἔχειν Seidler 5 ἰδὼν κἀκεῖνοc **S** 6 ἡρμένου **A** 7 τὸν **S**] ἡ **A** 8 κοίτηc **S**] κλίνηc **A** 9 δέδυτο **A** χαίκαλὸc **G**] καὶ καλῶc **A** καὶ κακῶc Schneidewin 10 ἔρωc **A** τῇ anonymus apud Boissonadium] τῷ **A**

**33** **A V** 198 (Knoell p. 678) 2—3 a **S** (νεόc) **F** 374 **C** p. 271 — 1 Πλειάδοc δυcμαὶ ἦcαν cπόρου ἐν ὥρῃ **V** 2 πυρὸν εἰc νεὸν (νέον vel νεύαν pr. **A**) **A S**] ἐν κλήρῳ πυροὺc **V** cπείραc **S V**] ῥίψαc **A** 3 φύλαccεν **S** ἐφύλαττεν **V** 5 ψᾶρέc τ' ὄλεθροc **A**] ψάρεc ὀρύκται **V** 8 ἠτείκει **V** 9 βαλεῖν **V**] λαβεῖν **A** 12 cοφῶν **V** φῦλον **A**] φίλων **V** ἡνίκ' ἂν **F**] ἡνίκα **A V** 13 ἔλθωc' **L**] ἔλθωcιν **A** om. **V** εἶπεν **A**] om. **V** 15 καὶ ἐνέμοντο **A** καὶ νέμοντο **V** 16 αἰτεῖ **V** cυνθήκη Berger Fix 18 δέδωκεν **V**

ἑτέρου τὸν ὦμον, οἱ δ' ἔφευγον ἐκ χώρης.
γέρανοι συνήντων καὶ τὸ συμβὰν ἠρώτων.
καί τις κολοιῶν εἶπε· 'φεύγετ' ἀνθρώπων
γένος πονηρόν, ἄλλα μὲν πρὸς ἀλλήλους
λαλεῖν μαθόντων, ἄλλα δέ ⟨τινα⟩ ποιούντων.'
[δεινὸν τὸ φῦλον τῶν δόλῳ τι πραττόντων.]

## 34

Δήμητρι ταῦρον ὄχλος ἀγρότης θύων
ἅλω πλατεῖαν οἰνάροις ὑπεστρώκει,
κρεῶν τραπέζας· εἶχε καὶ πίθους οἴνου.
ἐκ τῶν δὲ παίδων ἐςθίων τις ἀπλήστως
ὑπὸ τῶν βοείων ἐγκάτων ἐφυσήθη,
κἀπῆλθ' ἐς οἴκους γαστρὸς ὄγκον ἀλγήσας.
πεσὼν δ' ἐφ' ὑγραῖς μητρὸς ἀγκάλαις 'εἶμι
κάτω γ'' ἐφώνει 'δυστυχὴς ἀποθνήσκω·
τὰ σπλάγχνα γάρ, τεκοῦσα, πάντα μου πίπτει.'
ἡ δ' εἶπε· 'θάρσει κἀπόβαλλε, μὴ φείδου·
οὐ γὰρ σά, τέκνον, ἀλλ' ἐμεῖς τὰ τοῦ ταύρου.'
[ὅταν ὀρφανοῦ τις οὐσίαν ἀναλώσας
ἔπειτα ταύτην ἐκτίνων ἀποιμώζῃ,
πρὸς τοῦτον ἄν τις καταχρέοιτο τῷ μύθῳ.]

## 35

Δύω μὲν υἱοὺς ἡ πίθηκος ὠδίνει,
τεκοῦσα δ' αὐτοῖς ἐστὶν οὐκ ἴση μήτηρ,
ἀλλ' ἕνα μὲν αὐτῶν ἀθλίης ὑπ' εὐνοίης
θάλπουσα κόλποις καταφιλοῦς' ἀποπνίγει,
τὸν δ' ὡς περισσὸν καὶ μάταιον ἐκβάλλει.

---

[21—24]? Eberhard 22 κολοιὸς **V** 24 δέ ⟨τινα⟩ **G**] δὲ **A V** δ' ἔργα **F** 25 om. **V** δεινὸν Boiss.] ὅτι δεινὸν **A**

**34 A** 1—2 **S** (οἴναρα) — 1 ταύρων ὄχλον **S** 2 οἰνάροις ὑπεστρώκει **S**] οἰνάσι κατεστρώκει **A** 2—3 ὑπεστρώκει, κρεῶν τραπέζας· εἶχε distinxit **G**] post 2 lacunam statuit Lachmannus, τραπέζας τ' εἶχε Boiss. 7 ἐφ' **A**] ἐν Schneidewin εἶμι (vel εἰμὶ) pr. **A**] οἴμοι **A** 8 κάτω γ' **G**] καὶ ταῦτ' **A** τί ταῦτ'; Minas 9 κύπτει Seidler [12—14] G. Hermann

**35 A B**30 — 1 δύο **A** 3 ἕνα **G** secutus **B**, qui habet καὶ τὸ μὲν ἓν (i. e. τέκνον) ἀγαπᾷ] ὃν **A** 4 καταφιλοῦς' **G** duce **B**, in quo legitur καὶ τοῦτο καταφιλοῦσα ἀποπνίγει] ἀγρίοις **A** ἀγρίως Seidler 3—4 verborum ordinem mutandum non esse (...ἀγρίοις ἀποπνίγει θάλπουσα κόλποις ἀθλίης ὑπ' εὐνοίης voluit Nauckius) intellegitur ex **B**, ubi legitur: καὶ ὃ μὲν στέργει, ἀεὶ ἐν τοῖς κόλποις περιφέρουσα καὶ τιθεῖσα ἔνθεν κἀκεῖθεν καὶ τοῦτο καταφιλοῦσα ἀποπνίγει.

κἀκεῖνος ἐλθὼν εἰς ἐρημίην ζώει.
[τοιοῦτο πολλῶν ἐστὶν ἦθος ἀνθρώπων·
οἷς ἐχθρὸς ἀεὶ μᾶλλον ἢ φίλος γίνου.]

## 36

Δρῦν αὐτόριζον ἄνεμος ἐξ ὄρους ἄρας
ἔωσε· ποταμὸς δὲ κατέσυρε κυμαίνων
πελώριον φύτευμα τῶν πρὶν ἀνθρώπων.
πολὺς δὲ κάλαμος ἑκατέρωθεν εἱστήκει
ἐλαφρὸς ὄχθης ποταμίης ὕδωρ πίνων.
θάμβος δὲ τὴν δρῦν εἶχε, πῶς ὁ μὲν λίην
λεπτός τ' ἐὼν καὶ βληχρὸς οὐκ ἐπεπτώκει,
αὐτὴ δ' ἐοῦσα φηγὸς ἐξεριζώθη.
σοφῶς δὲ κάλαμος εἶπε· 'μηδὲν ἐκπλήσσου.
σὺ μὲν μαχομένη ταῖς πνοαῖς ἐνικήθης,
ἡμεῖς δὲ καμπτόμεσθα μαλθακῇ γνώμῃ,
κἂν βαιὸν ἡμῶν ἄνεμος ἄκρα κινήσῃ.'
[κάλαμος μὲν οὕτως· ὁ δέ γε μῦθος ἐμφαίνει
μὴ δεῖν μάχεσθαι τοῖς κρατοῦσιν, ἀλλ' εἴκειν.]

## 37

Δαμάλης ἐν ἀγροῖς ἄφετος, ἀτριβὴς ζεύγλης,
κάμνοντι καὶ σύροντι τὴν ὕνιν ταύρῳ
'τάλας' ἐφώνει 'μόχθον οἷον ὀτλεύεις.'
ὁ βοῦς δ' ἐσίγα χὐπέτεμνε τὴν χώρην.
ἐπεὶ δ' ἔμελλον ἀγρόται θεοῖς θύειν,
ὁ βοῦς μὲν ὁ γέρων εἰς νομὰς ἀπεζεύχθη,
ὁ δὲ μόσχος ἀδμὴς κεῖνος εἵλκετο σχοίνῳ
δεθεὶς κέρατα, βωμὸν αἵματος πλήσων.
κἀκεῖνος αὐτῷ τοιάδ' εἶπε φωνήσας·
'εἰς ταῦτα μέντοι μὴ πονῶν ἐτηρήθης.

---

[7—8] Eberhard 8 γίγνου **A**

**36 A B**29 — 1 αὐτόρριζον **A** 2—3 ἔωσε· ποταμὸς δὲ κατέσυρε κυμαίνων πελώριον φύτευμα τῶν πρὶν ἀνθρώπων. **G**] ἔδωκε (ἐνῶσε Seidler) ποταμῷ· τὴν δ' ἔσυρε κυμαίνων. πελώριον... ἀνθρώπων **A** editores omnes praeter Lachmannum, qui v. 3 ante 2 inserebat; ἐν ποταμῷ ἔρριψεν **B** 5 ἐλαφρὸς Lachmann] ἐλαφρὸν **A** 6 εἶχε **A**] εἷλε Eberhard 7 τ' ἐὼν Boiss.] τε ων **A** τις ὢν Seidler alii 8 αὕτη **A** δ' ἐοῦσα **G**] δὲ ὀσσὴ pr. **A** δὲ ὅσση rec. **A** δὲ τόσση Minas 9 σοφὸς pr. **A** 11 καμπτόμεθα **A** 12 βαῖον pr. **A** [13—14] Duebner

**37 A** 3**S** (ὄτλος) **B**24 = **C**174² **F**61 = **C** p. 360¹ **C**174¹ et p. 360² — 1 δαμάλης Meineke] δάμαλις **A** 4 καὶ ὑπέτεμνε **A** χώραν **A** 7 ἀδμὴς (ἀδμὴς Boiss.) κεῖνος Boiss. **L**] ἀδμήσκειν ὃς **A** 10 πονεῖν **A** κάμνων **B**

ὁ νέος παραινεῖς τὸν γέροντα κεὐθύνεις
καὶ σοῦ τένοντα πέλεκυς, οὐ ζυγὸς τρίψει.'
Διδάσκει ἡμᾶς ὁ μῦθος ὅτι ἡ καλὴ ἐπιστήμη ἐκ θανάτου ῥύεται.

## 38

Δρυτόμοι τινὲς σχίσαντες ἀγρίην πεύκην
ἐνεῖραν αὐτῇ σφῆνας, ὡς διασταίη,
γένοιτο δ' αὐτοῖς ὁ πόνος ὕστερον ῥᾴων.
ἡ δὲ στένουσα 'πῶς ἄν' εἶπε 'μεμφοίμην
τὸν πέλεκυν, ὅς μου μὴ προσῆκε τῇ ῥίζῃ,
ὡς τοὺς κακίστους σφῆνας, ὧν ἐγὼ μήτηρ;
ἄλλος γὰρ ἄλλῃ μ' ἐμπεσὼν διαρρήσσει.'
[ὁ δὲ μῦθος ἡμῖν τοῦτο πᾶσι μηνύει,
ὡς οὐδὲν οὕτω δεινόν, ἂν ὑπ' ἀνθρώπων
πάθῃς τι τῶν ἔξωθεν ὡς ὑπ' οἰκείων.]

## 39

Δελφῖνες ἀεὶ διεφέροντο φαλαίναις.
τούτοις παρῆλθε καρκίνος μεσιτεύων,
ὡς εἴ τις ὢν ἄδοξος ἐν πολιτείᾳ
στάσιν τυράννων μαχομένων ἀναιροίη.
εἷς δ' ὑπολαβὼν πρὸς αὐτὸν εἶπεν· 'ἀλλ' ἥμιν
διαφθαρῆναι μαχομένοις ὑπ' ἀλλήλων
ἀνεκτότερον ἢ σοῦ τυχεῖν διαλλάκτου.'

## 40

Διέβαινε ποταμὸν ὀξὺν ὄντα τῷ ῥείθρῳ
κυρτὴ κάμηλος, εἶτ' ἔχεζε. τοῦ δ' ὄνθου
φθάνοντος αὐτὴν εἶπεν· 'ἦ κακῶς πράσσω·
ἔμπροσθεν ἤδη τἀξόπισθέ μου βαίνει.'
[πόλις ἄν τις εἴποι τὸν λόγον τὸν Αἰσώπου,
ἧς ἔσχατοι κρατοῦσιν ἀντὶ τῶν πρώτων.]

---

11 παραινεῖς **G**] παρέρπεις **A** κεὐθύνεις **G**] καὶ θύῃ **A**

**38 A** 2 **S** (ἐναφῆκαν) **B** 28 — 1 ἀγρία **A** 2 ἐναφῆκαν τῇ δρυὶ σφῆνας **S** 4 ἡ δὲ **G** (duce **B** qui habet ἡ δὲ εἶπεν)] πεύκη **A** [8—10] Eberhard 8 ὁ δὲ μῦθος **G**] ὁ μῦθος δ' **A** ὁ μῦθος **L** alii 10 πάθῃς Duebner] πάθοις **A**

**39 A F** 53 = **C** 177 = p. 362 = Aug. 72 — 1 φαλλαίναις **A** 3 πολιτείᾳ Fix] πολιτείαις **A** 4 ἀναιροίη **G**] ὁμηρεύοι **A** εἰρηνεύοι pr. **A** marg. 5—7 εἷς δ' ὑπολαβὼν .... διαλλάκτου **G**] εἷς δέ τις τῶν δελφίνων ὑπολαβὼν (ὑποτυχὼν Aug.) ἔφη πρὸς αὐτόν· ἀλλ' ἡμῖν ἀνεκτότερόν ἐστι μαχομένοις ὑπ' ἀλλήλων διαφθαρῆναι ἢ σοῦ διαλλακτοῦ (διαλλάκτου Aug.) τυχεῖν **F** Aug.

**40 A B** 25 **F** 353 = **C** p. 406 = **C** 342 — 3 πράττω **A** 4 τἀξόπισθέ Duebner] τὰ ἐξόπισθέν **F** τάχ' ὄπισθε **A** τὰ ὄπισθέν **B** [5—6] Eberhard

## 41

Διαρραγῆναί φαςιν ἐκ μέςου νώτου
δράκοντι μῆκος ἐξιςουμένην ςαύραν.
[βλάψεις ςεαυτὸν κοὐδὲν ἄλλο ποιήςεις,
ἂν τὸν cὲ λίαν ὑπερέχοντα μιμήςῃ.]

## 42

Δεῖπνόν τις εἶχε λαμπρὸν ἐν πόλει θύςας.
ὁ κύων δὲ τούτου κυνὶ φίλῳ ςυναντήςας
ἐλθεῖν πρὸς αὐτὸν ἐπὶ τὸ δεῖπνον ἠρώτα.
κἀκεῖνος ἦλθε· τὸν δὲ τοῦ ςκέλους ἄρας
ὁ μάγειρος ἐκτὸς ἐξέριψε τοῦ τοίχου
ἐς τὴν ἄγυιαν. τῶν κυνῶν δ' ἐρωτώντων
ὅπως ἐδείπνης' εἶπε· 'πῶς γὰρ ἂν κρεῖςςον,
ὃς οὐδὲ ποίην ὁδὸν ἀνῆα γινώςκω.'

Ὅτι τοῖς μὴ λόγῳ τοῖς πράγμαςιν ἐγχειροῦςιν ἕπεται πολλάκις τὸ κακῶς ἐν αὐτοῖς πάςχειν.

## 43

Ἔλαφος κεράςτης ὑπὸ τὸ καῦμα διψήςας
λίμνης ὕδωρ ἔπινεν ἡςυχαζούςης,
ἐκεῖ δ' ἑαυτοῦ τὴν ςκιὴν θεωρήςας
χηλῆς μὲν εἴδει καὶ ποδῶν ἐλυπήθη,
ἐπὶ τοῖς κέραςι δ' ὡς καλοῖς ἄγαν ηὔχει.
παρῆν δὲ νέμεςις, ἣ τὰ γαῦρ' ἐποπτεύει.
κυνηγέτας γὰρ ἄνδρας εἶδεν ἐξαίφνης
ὁμοῦ ςαγήναις καὶ ςκύλαξιν εὐρίνοις·
ἰδὼν δ' ἔφευγε δίψαν οὐδέπω παύςας
καὶ μακρὸν ἐπέρα πεδίον ἴχνεςιν κούφοις.
ἐπεὶ δὲ δὴ ςύνδενδρον ἦλθεν εἰς ὕλην,
κέρατα θάμνοις ἐμπλακεὶς ἐθηρεύθη.
κἀνταῦθ' ἔφη· 'δύςτηνος ὡς διεψεύςθην·
οἱ γὰρ πόδες μ' ἔςῳζον, οἷς ἐπηδούμην,
τὰ κέρατα δὲ προὔδωκεν, οἷς ἐγαυρούμην.'

---

**41 A** — 2 μήκους **A** [3—4] Eberhard

**42 A** 3 **S** (ἐρωτῶ cε) **B** 27 **F** 22 = **C** p. 331¹ **C** 129 et p. 331² — 3 αὐτὸν **A S** 5 ἐξέρριψε **A** 7 κρεῖττον **A** 8 ποίην ὁδὸν ἀνῆα **G**] ποίαν ἀναλύειν με **A** ὅτι οὐδὲ τὴν ὁδὸν οἶδα, ὅθεν ἐξῆλθον **B**

**43 A** 6 **S** (νέμεςις) **B** 34 = **C** 181⁴ **F** 66 = **C** p. 364 **C** 181¹ = Aug. 75 **C** 181²˒³˒⁵ et p. 365 — 3 δὲ αὐτοῦ **A** ςκιὰν **A** 4 εἴδει **G**] ἕνεκε **A** ἕνεκα Minas, quem secuti sunt recentiores omnes, ex quibus Eberhardus post v. 4 excidisse putat versum quo haec expressa fuerit sententia: ὡς λεπτοὺς καὶ ἀςθενεῖς ὄντας (**B**) 5 τοῖςδε κέραςιν **A** 6 τὰ γαῦρ' ἐποπτεύει **L**] τὰ γαῦρα πημαίνει (ποιμαίνει Seidler) **A** τὰ γῆς (vel τἄδικ') ἐποπτεύει **S** 10 ἴχνεςι **A** 13 κἀνταῦθ' **G**] καὶ ταῦτ' **A** ὡς **A**

[περὶ τῶν ϲεαυτοῦ πραγμάτων ὅταν κρίνῃϲ,
μηδὲν βέβαιον ὑπολάβῃϲ προγινώϲκων·
μὴ τᾶν ἀπογνῷϲ μηδ᾽ ἀπελπίϲῃϲ· οὕτω
ϲφάλλουϲιν ἡμᾶϲ ἐνίοθ᾽ αἱ πεποιθήϲειϲ.]

## 44

Ἐνέμοντο ταῦροι τρεῖϲ ἀεὶ μετ᾽ ἀλλήλων.
λέων δὲ τούτουϲ ϲυλλαβεῖν ἐφεδρεύων
ὁμοῦ μὲν αὐτοὺϲ οὐκ ἔδοξε νικήϲειν,
λόγοιϲ δ᾽ ὑπούλοιϲ διαβολαῖϲ τε ϲυγκρούων
ἐχθροὺϲ ἐποίει, χωρίϲαϲ δ᾽ ἀπ᾽ ἀλλήλων
ἕκαϲτον αὐτῶν ἔϲχε ῥᾳδίην θοίνην.
[ὅταν μάλιϲτα ζῆν θέλῃϲ ἀκινδύνωϲ,
ἐχθροῖϲ ἀπίϲτει, τοὺϲ φίλουϲ δὲ ϲυντήρει.]

## 45

Ἔνιφεν ὁ Ζεύϲ· αἰπόλοϲ δέ τιϲ φεύγων
εἰϲ ἄντρον εἰϲήλαυνεν, ὡϲ ἐνοικήϲων,
τὰϲ αἶγαϲ ἄχρι χιόνι λευκανθιζούϲαϲ.
εὑρὼν δ᾽ ἐκεῖ τάχιον εἰϲδεδυκυίαϲ
αἶγαϲ κερούχουϲ ἀγρίαϲ πολὺ πλείουϲ
ὧν αὐτὸϲ ἦγε μείζονάϲ τε καὶ κρείϲϲουϲ,
ταῖϲ μὲν φέρων ἔβαλλε θαλλὸν ἐξ ὕληϲ,
τὰϲ δ᾽ ἐννύχαϲ ἀφῆκε μακρὰ λιμώττειν.
ὡϲ δ᾽ ᾐθρίαϲε, τὰϲ μὲν εὗρε τεθνώϲαϲ,
αἱ δ᾽ οὐκ ἔμειναν, ἀλλ᾽ ὀρῶν ἀβοϲκήτων
ἀνέμβατον δρυμῶνα ποϲϲὶν ἠρεύνων·
ὁ δ᾽ αἰπόλοϲ κενοὺϲ ἀνῆλθεν εἰϲ οἴκουϲ.
[αἰγῶν ἔρημοϲ· ἐλπίϲαϲ δὲ τὰϲ κρείϲϲουϲ
οὐκ ὤνατ᾽ οὐδ᾽ ὧν αὐτὸϲ εἶχεν ἐκ πρώτηϲ.]

Ὁ μῦθοϲ ἡμᾶϲ ἐκδιδάϲκει μηδαμῶϲ τῶν οἰκείων ἀμελεῖν, μάλιϲτα κέρδουϲ ἕνεκα ἀμφιβόλου ὑπάρχοντοϲ.

---

[16—19] **L** 18 μὴ τᾶν **G**] μὴ τ᾽ αὖ **A** μηδ᾽ αὖτ᾽ **L***

**44 A B**36 **F**207 **C**296$^{1-5}$ et p. 401 — 3 αὐτοὺϲ **A**] ὄνταϲ Seidler duce **F** (ϲυνόνταϲ) διὰ τὴν αὐτῶν ὁμόνοιαν οὐκ ἠδύνατο **B** 6 ῥᾳδίαν **A** [7—8] Eberhard 8 δὲ ϲυντήρει **G**] ἀεὶ τήρει **A**; sed cf. **B** promyth. εἰ θέλειϲ μάλιϲτα ζῆν ἀκινδύνωϲ, τοῖϲ μὲν ἐχθροῖϲ ἀπίϲτει, τοῖϲ δὲ φίλοιϲ πίϲτευε καὶ ϲυντήρει.

**45 A B**37 = **F**261 = **C**150 Aug. 6 — 1 ἔνειφεν **A** 2 εἰϲήλαυνεν, ὡϲ ἐνοικήϲων, **G**] εἰϲήλαυνε τῶν ἀοικήτων **A** ἐν ϲπηλαίῳ ἀοικήτῳ αἰγοβοϲκὸϲ ἐν χειμῶνι τὰϲ αἶγαϲ ἤγαγεν **B** 3 ἄχρι **G**] ἄχρη **A** ἁδρῇ Duebner 8 ἐννύχαϲ **G**] ἰδίαϲ **A** ἄρ᾽ ἰδίαϲ Seidler ἀφῆκεν ἄκρα Eberhard 11 ποϲὶν **A** 12 κενοὺϲ ἀνῆλθεν **G**] γελάϲαϲ **A** γελαϲτὸϲ Seidler ὁ δὲ αἰπόλοϲ γελάϲαϲ (ἀπελάϲαϲ **C**) εἰϲ τὸν οἶκον ἦλθε κενόϲ **B F C** [13—14] **G**, de quibus iam dubitaverat Eberhardus 13 τὰ κρείϲϲω Bergk

## 46

Ἔλαφος καθ' ὕλην γυῖα κοῦφα ναρκήcαc
ἔκειτο πεδίων ἐν χλόῃ βαθυcχοίνῳ,
ἐξ ἧc ἑτοίμην χιλὸν εἶχε πεινήcαc.
ἤρχοντο δ' ἀγέλαι ποικίλων ἐκεῖ ζῴων
ἐπιcκοπούντων· ἦν γὰρ ἀβλαβὴc γείτων.
ἐλθὼν δ' ἕκαcτοc τῆc πόηc τ' ἀποτρώγων
ᾔει πρὸc ὕλαc οὐδ' ἐπήι', εἰ θνήcκει·
ἔλαφοc δὲ λιμῷ κοὐ νόcῳ κατεcκλήκει,
μή πω κορώνην δευτέρην ἀναπλήcαc,
ὅc, εἰ φίλουc οὐκ ἔcχε, κἂν γεγηράκει.

Ὁ μῦθοc τοῦτο λέγει, δεῖν τὰ ὁπωcοῦν ἐπιόντα δεινὰ λόγοιc ἐξευμαρίζειν ἠπίοιc καὶ τὸ τούτων ὀχληρὸν ἀποπαύειν.

## 47

Ἐν τοῖc παλαιοῖc ἦν ἀνὴρ ὑπεργήρωc,
εἶχεν δὲ πολλοὺc παῖδαc· οἷc ἐπιcκήπτων
(ἔμελλε γὰρ δὴ τὸν βίον τελευτήcειν)
ἐκέλευε λεπτῶν, εἴ τιc ἔcτι που, ῥάβδων
δεcμὴν ἐνεγκεῖν. ἧκέ τιc φέρων ταύτην.
'πειρᾶcθε δή μοι, τέκνα, cὺν βίῃ πάcῃ
ῥάβδουc κατᾶξαι δεδεμέναc cὺν ἀλλήλαιc.'
οἱ δ' οὐ γὰρ ἠδύναντο· 'κατὰ μίην τοίνυν
πειρᾶcθ'.' ἑκάcτηc δ' εὐχερῶc καταγείcηc
'ὦ παῖδεc, οὕτωc' εἶπεν 'ἣν μὲν ἀλλήλοιc
ὁμοφρονῆτε πάντεc, οὐδ' ἂν εἷc ὕμαc
βλάψαι δύναιτο, κἂν μέγιcτον ἰcχύῃ·
ἣν δ' ἄλλοc ἄλλου χωρὶc ἦτε τὴν γνώμην,
πείcεcθ' ἕκαcτοc ταὐτὰ τῇ μιῇ ῥάβδῳ.'
[φιλαδελφία μέγιcτον ἀγαθὸν ἀνθρώποιc,
ἣ καὶ ταπεινοὺc ὄνταc ἦρεν εἰc ὕψοc.]

Ὁ μῦθοc ἡμᾶc ἐκδιδάcκει ὅcον τὸ τῆc ὁμονοίαc καλὸν καὶ τί πάλιν τὸ ἐπιζήμιον τοῖc μηδαμῶc ταύτην κεκτημένοιc.

---

**46** **A** **F** 337 = **C** 377 — 3 ἑτοῖμον Fix 4 ζώων **A** 6 πόαc **A** 7 οὐδ' ἐπήι', εἰ θνήcκει **G**] ὁ δὲ πεινίη θνήcκει **A** τοῦ νοcοῦντοc ἀμνήμων Fix ex 7—8 unum versum faciebat Lachmannus: ᾔει πρὸc ὕλαc· ὁ δὲ πένηc κατεcκλήκει 8 δευτέραν **A** epimythium huc non pertinet

**47** **A** **B** 38 **F** 52 = **C** p. 358 **C** 171 — 2 εἶχε **A** 8 μίαν **A** 9 πειρᾶcθαι pr. **A** 10 ἣν Eberhard] ἂν **A** 14 μιᾷ **A** [15—16] **L** 15 μέγιcτον Lachmann] μέγ' **A**

## 48

Ἐν ὁδῷ τις Ἑρμῆς τετράγωνος εἱστήκει,
λίθων δ᾽ ὑπ᾽ αὐτῷ σωρὸς ἦν. κύων τούτῳ
εἶπεν προσελθών· ʽχαῖρε πρῶτον, Ἑρμεία·
ἔπειτ᾽ ἀλεῖψαι βούλομαί σε μηδ᾽ οὕτω
θεὸν παρελθεῖν καὶ θεὸν παλαιστρίτην.᾽
ὁ δ᾽ εἶπεν· ʽἢν μοι τοῦτο μὴ ᾽πιλιχμήσῃς
τοὔλαιον ἐλθὼν μηδέ μοι προσουρήσῃς,
χάριν εἴσομαί σοι· καὶ πλέον με μὴ τίμα.᾽

Ὅτι τοῖς κακοῖς ἀρκεῖ, ὡς οὐ καλοπρεπῶς δυναμένοις τὰ βελτίω δρᾶσαι, κἂν τῶν συνήθων αὐτῶν αἰτιῶν ἀργῆσαι.

## 49

Ἐκάθευδε νύκτωρ ἐργάτης ὑπ᾽ ἀγνοίης
φρέατος ἐγγύς. τῆς Τύχης δ᾽ ἐπιστάσης
ἔδοξ᾽ ἀκούειν· ʽοὗτος, οὐκ ἐγερθήσῃ;
μή σου πεσόντος αἰτίη παρ᾽ ἀνθρώποις
ἐγὼ λέγωμαι καὶ κακὴν λάβω φήμην.
ἐμοὶ γὰρ ἐγκαλοῦσι πάντα συλλήβδην,
ὅσ᾽ ἂν παρ᾽ αὑτοῦ δυστυχῇ τις ἢ πίπτῃ.᾽

Ἔλεγχος τῶν εἱμαρμένην δοξαζόντων καὶ ἀνάγκῃ τὰ τῆς ἡμῶν ἐξουσίας ὑποβαλλόντων καὶ μὴ τῷ αὐτεξουσίῳ εἰς δέον κεχρημένων.

## 50

Ἔφευγ᾽ ἀλώπηξ, τῆς δ᾽ ὄπισθε φευγούσης
κυνηγὸς ἐτρόχαζεν. ἡ δ᾽ ἐκεκμήκει,
δρυτόμον δ᾽ ἰδοῦσα ʽπρὸς θεῶν σε σωτήρων,
κρύψον με ταύταις αἷς ἔκοψας αἰγείροις,
καὶ τῷ κυνηγῷ᾽ φησί ʽμή με μηνύσῃς.᾽
ὁ δ᾽ οὐ προδώσειν ὤμνυ· ἡ δ᾽ ἀπεκρύφθη.
ἦλθεν κυνηγὸς καὶ τὸν ἄνδρ᾽ ἐπηρώτα
μὴ τῇδ᾽ ἀλώπηξ καταδέδυκεν ἢ φεύγει.
‚οὐκ εἶδον‘ εἶπε, τῷ δὲ δακτύλῳ νεύων
τὸν τόπον ἐδείκνυ᾽ οὗ πανοῦργος ἐκρύφθη.

---

**48 A** — 3 εἶπε **A** 6 ἂν **A** μοι Fix] μὴ **A** epim. ἀρκεῖ, ὡς οὐ καλοπρεπῶς **G**] ἀρκεῖ τέως οὐ καλῶς πῶς **A** ἀρκεῖ τέως οὐκ ἄλλως πως Boiss.

**49 A B** 33 **F** 62 = **C** p. 387 **C** 252 1–2 et p. 388 — 1 ἀγνοίας **A** 4 καἰτία **A** 7 πίπτῃ (cf. **B** promyth. κινδύνοις περιπεσόντες) **A**] πταίῃ Duebner Meineke

**50 A B** 41 **F** 10 = **C** p. 329 **C** 127 1–3 Aug. 22 — 3 σωτήρων **L***] σωτῆρα **A** 6 ὅδ᾽ **A** ἥδ᾽ **A** ὤμνυ᾽ **L** 10 ἐδείκνυ **A**

ὁ δ' οὐκ ἐπιςχών, τῷ λόγῳ δὲ πιςτεύςας
παρῆλθε. θερμοῦ δ' ἐκφυγοῦςα κινδύνου
κερδὼ παχείης ἐξέκυπτεν αἰγείρου,
ςεςηρὸς αἰκάλλουςα. τῇ δ' ὁ πρεςβύτης
‚ζωαγρίους μοι χάριτας' εἶπεν ‚ὀφλήςεις.'
'ἔρρωςο τοίνυν' φηςίν· ‚ἀλλά μου μνήςκου.'
'πῶς οὐκ ἄν' εἶπεν 'ὧν γε μάρτυς εἰςτήκειν;'
‚ἐρρυςάμην cε.' 'καὶ τὸν Ὅρκον οὐ φεύξῃ
φωνῇ με ςώςας, δακτύλῳ δ' ἀποκτείνας.'
[ςοφὸν τὸ θεῖον κἀπλάνητον· οὐδ' ἄν τις
λαθεῖν ἐπιορκῶν προςδοκᾷ, Δίκην φεύγει.]

Εὐκαίρως ὁ μῦθος ῥηθήςεται πρὸς ἐκείνους τοὺς χρηςτὰ μὲν ἐπαγγελλομένους, δόλια δὲ καὶ φαῦλα ἐργαζομένους.

## 51

Ἔν τῷ ποτ' οἴκῳ πρόβατον εἶχέ τις χήρη,
θέλουςα δ' αὐτοῦ τὸν πόκον λαβεῖν μείζω
ἔκειρεν ἀτέχνως τῆς τε ςαρκὸς οὐ πόρρω
τὸν μαλλὸν ἐψάλιζεν, ὥςτε τιτρώςκειν.
ἀλγοῦν δὲ πρόβατον εἶπε· 'μή με λυμαίνου·
πόςην γὰρ ὁλκὴν τοὐμὸν αἷμα προςθήςει;
ἀλλ' εἰ κρεῶν, δέςποινα, τῶν ἐμῶν χρῄζεις,
ἔςτιν μάγειρος, ὅς με ςυντόμως θύςει·
εἰ δ' εἰρίων πόκου τε κοὐ κρεῶν χρῄζεις,
πάλιν ἔςτι κουρεύς, ὃς κερεῖ με καὶ ςώςει.'

Πρὸς τοὺς μετὰ ἀπειρίας τοῖς πράγμαςιν ἐγχειροῦντας, ἐξ ἧς οὐ τοςοῦτον τὸ κέρδος ὅςη βλάβη προςγίνεται.

## 52

Εἰς ἄςτυ τετράκυκλον ἠρεμεῖς ταῦροι
ἅμαξαν ὤμοις εἷλκον· ἡ δ' ἐτετρίγει.

---

11 ὅδ' **A** ἐπιςχὼν **A**] οὐχὶ προςςχὼν Hartung τῷ δὲ δακτύλῳ μὴ προςςχὼν παρῆλθεν **B** consentientibus in verbo προςςχεῖν **F C** Aug. 13 παχείας **A** 14 ἀκάλλουςα **A** 16 'ἔρρωςο τοίνυν' M. Schmidt ('Rhein. Mus.' 26, 200)] ἐρρυςάμην ςε **A** μου μήςκου **A**] μιμνήςκου **L*** [16] Bergk 17 εἰςτήκειν **L**] εἰςτήκει **A** 18 ‚ἐρρυςάμην ςε.' M. Schmidt (ibidem)] ἔρρωςο τοίνυν **A** 19 με ςώςας... ἀποκτείνας Seidler] μ' ἔςωςας..... ἀπέκτεινας **A** [20—21] Lachmann 20 καὶ ἀπλάνητον **A** 21 φεύγει Lachmann] φεύγειν **A**

**51 A B** 39 = **C** 288 **F** 168 = **C** p. 399 — 1 ἔν τῷ **L***] ἐν τῷ **A** ἐν τόπῳ τινὶ **B** χήρα **A** 3 ἔκειρεν **A**] ἔκειρ' Eberhard ἀτεχνῶς **A** 9 τε **A**] cὺ Bergk χρήζεις **A**

**52 A B** 32 **F** 39 = **C** p. 355 **C** 168 1–2 — fabulam Babrianam non esse arbitratur Eberhardus 1 ἠρεμεῖς **G**] ἄρρενες **A** 'corruptum, nisi forte significantur robusti' Eberhard

καὶ τὸν βοώτην θυμὸς εἶχεν· ἣ δ' οὕτως·
[ἐγγὺς προσελθὼν εἶπεν ὡς ἀκουσθῆναι·]
'ὦ παγκάκιστον κτημάτων, τί δὴ κρώζεις,
ἄλλων ἔτ' ὤμοις φερομένη σιωπώντων;'
[κακοῦ πρὸς ἀνδρός ἐστι μακρὸν οἰμώζειν
ἄλλων πονούντων, αὐτὸς ὥσπερεὶ κάμνων.]

Ὁ μῦθος τοῦτο λέγει, ἐν τοῖς πράγμασιν ἄλλων πονουμένων ἄλλους ἀδίκως οἰμώζειν καὶ μηδαμῶς πόνους ἀλλοτρίους ἑαυτοῖς ἐπιγράφειν.

## 53

Εἰς λύκον ἀλώπηξ ἐμπεσοῦσα δειλαίη
ζωγρεῖν ἐδεῖτο μηδὲ γραῦν ἀποκτείνειν.
ὁ δ' 'ἤν λόγους μοι τρεῖς ἀληθινοὺς εἴπῃς,
ἐγώ σε νὴ τὸν Πᾶνα' φησί 'ζωγρήσω.'
ἡ δ' 'εἴθε μέν μοι πρῶτα μὴ συνηντήκεις·
ἔπειτα δ' εἴθε τυφλὸς ὢν ὑπηντήκεις·
τρίτον δ' ἐπ' αὐτοὺς εἴθε μὴ σύ γ' εἰς ὥρας
ἵκοιο μηδέ μοι πάλιν συναντήσῃς.'

Ὅτι πολλάκις αἱ περιστάσεις πεφύκασι καὶ παρὰ γνώμην τὰ σιγῆς ἄξια εἰς τοὐμφανὲς ἄγειν.

## 54

Εὐνοῦχος ἦλθε πρὸς θύτην ὑπὲρ παίδων
σκεψόμενος. ὁ θύτης δ' ἁγνὸν ἧπαρ ἁπλώσας
'ὅταν μέν' εἶπεν 'οἶν ἴδω, πατὴρ γίνῃ,
ὅταν δὲ τὴν σὴν ὄψιν, οὐδ' ἀνὴρ φαίνῃ.'

Πρὸς τοὺς τὰς εὐχὰς ὑπὲρ τῶν οὐ δεόντων ποιουμένους ἢ καλῶς μὴ δυναμένων γενέσθαι.

---

3 εἶχεν· ἣ δ' **G**] εἶχε, τῇ δ' **A** εἶλ' (duce Lachmanno, qui εἶλε proposuerat), ἔφη δ' οὕτως· [4] Eberhardus, sed in adnotatione tantum critica 4 om. **B F C** 6 ἔτ' **G**] ἐπ' **A** 'ἐπ' prorsus mirum est' Eberhard [7—8] **L** 8 ποιούντων **A** αὐτὸς ὥσπερεὶ κάμνων G. Hermann] ὡσείπερ αὐτὸς κάμνων **A** ὥσπερ αὐτὸς εἰ κάμνοι Duebner epim. ποιουμένων **A** μηδαμῶς, quod in **A** post λέγει invenitur, ante πόνους conlocavit **G**] 'aut ἄλλους delendum aut δεῖν (post οἰμώζειν) supplendum' Eberhard

**53** **A** **B** 31 = **C** 232 **F** 301 = **C** p. 379 — 3 ἂν **A** 4 νὴ τὸν Πᾶνα' φησί Fix **L**] φησὶ νὴ τὸν πάνα **A** 6 δ' om. **A** 7 εἴθε Lachmann] εἶπε **A** 8 μηδέ **A**] μὴ δή Eberhard συναντήσῃς **B F**] συναντήσης **A** συναντήσαις Fix **L**

**54** **A** — 2 ἁγνὸν (ἀρνὸς Ahrens) ἧπαρ ἁπλώσας Lachmann] ἀγνοεῖν παραπλώσας **A** 3 εἶπεν 'οἶν **G**] εἶπε αὐτ' **A** εἶπε τοῦτ' **L** epim. ἢ Boiss.] εἰ **A** καλῶς **G**] καὶ ἄλλως **A** καὶ ὅλως Eberhard

## 55

Ἕνα βοῦν τις εἶχε, τὴν ὄνον δὲ ϲυζεύξας
ἠροτρία, πτωχῶς μέν, ἀλλ' ἀναγκαίως.
ἐπεὶ δὲ τοὖργον ἐτετέλεϲτο καὶ λύειν
ἔμελλεν αὐτοὺς ἥ τ' ὄνος διηρώτα
τὸν βοῦν 'τίς ἄξει τῷ γέροντι τὰ ϲκεύη;'
ὅδε πρὸς αὐτὴν εἶπεν· 'ὥσπερ εἰώθει.'

## 56

Εὐτεκνίης ἔπαθλα πᾶσι τοῖς ζῴοις
ὁ Ζεὺς ἔθηκε, πάντα δ' ἔβλεπεν κρίνων.
ἦλθεν δὲ καὶ πίθηκος, ὡς καλεῖ, μήτηρ,
πίθωνα γυμνὸν σιμὸν ἠρμένη κόλποις.
γέλως δ' ἐπ' αὐτῷ τοῖς θεοῖς ἐκινήθη.
ἡ δ' εἶπεν οὕτω· 'Ζεὺς μὲν οἶδε τὴν νίκην,
ἐμοὶ δὲ πάντων οὗτός ἐστι καλλίων.'
[ὁ λόγος δοκεῖ μοι πᾶσι τοῦτο σημαίνειν·
γονὴν ἑαυτοῦ πᾶς τις εὐπρεπῆ κρίνει.]

## 57

Ἑρμῆς ἅμαξαν ψευσμάτων τε πληρώσας
ἀπάτης τε πολλῆς καὶ πανουργίης πάσης
ἤλαυνε διὰ γῆς, ἄλλο φῦλον ἐξ ἄλλου
σχέδην ἀμείβων καὶ μέρος τι τῶν ὤνων
νέμων ἑκάστῳ μικρόν. ὡς δὲ τῷ χώρῳ
τῷ τῶν Ἀράβων ἐπῆλθε καὶ διεξῄει,
λέγουσιν αὐτοῦ συντριβεῖσαν ἐξαίφνης
ἐπισταθῆναι τὴν ἅμαξαν. οἱ δ' ὥσπερ
πολύτιμον ἁρπάζοντες ἐμπόρου φόρτον
ἐκένωσαν αὐτὴν οὐδ' ἀφῆκαν εἰς ἄλλους
ἔτι προελθεῖν κάμελοῦντας ἀνθρώπους.

---

**55 A V** 173 (Knoell p. 678) = **F** 371 = **C** 415 — 3 τετέλεϲτο **A** 4 ἥ τ' **A**] ἡ **V** εἶτ' Lachmann 5 γέροντι **A**] γηπόνῳ **V** 6 ὅδε **G**] ὁ δὲ **V** ὁ δὲ βοῦς **A** ὁ βοῦς Fix

**56 A** — 1 ζώοις **A** 3 καλεῖ, **G**] καλὴ **A** καλοῦ Boiss. [8—9] **L** 9 γονὴν ἑαυτοῦ **B**] τὸν αὐτοὶ αὑτοῦ **A** αὐτὸς τὸν αὑτοῦ Eberhard

**57 A B** 40 **F** 349 = **C** 403 — 2 πανουργίας **A** 4 σχέδην **L***] σχεδίην **A** ὤνων Eberhard] ανων **A** 6 τῷ τῶν **A**] τῶν τότ' Seidler τῶν Ἀραβίων Duebner Meineke 11 προσελθεῖν **A** κάμελοῦντας **G**] καίπερ ὄντας **A** γῆν πολοῦντας, olim γειτνιῶντας Fix

ἐντεῦθεν Ἄραβές εἰσιν, ὡς ἐπειράθην,
ψεῦσταί τε καὶ γόητες, ὧν ἐπὶ γλώσσης
οὐδὲν κάθηται ῥῆμα τῆς ἀληθείης.

## 58

Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.
ὁ δ' ἀκρατὴς ἄνθρωπος εἰδέναι σπεύδων
τί ποτ' ἦν ἐν αὐτῷ καὶ τὸ πῶμα κινήσας
διῆκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους.
[κἀκεῖ πέτεσθαι τῆς τε γῆς ἄνω φεύγειν.]
μόνη δ' ἔμεινεν ἐλπίς, ἣν κατειλήφει
τεθὲν τὸ πῶμα. τοιγὰρ ἐλπὶς ἀνθρώποις
μόνη σύνεστι τῶν πεφευγότων ἥμας
ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν.

## 59

Ζεὺς καὶ Ποσειδῶν, φασί, καὶ τρίτη τούτοις
ἤριζ' Ἀθηνᾶ, τίς καλόν τι ποιήσει.
ποιεῖ μὲν ὁ Ζεὺς ἐκπρεπέστατον ζῷον,
ἄνθρωπον, ἡ δὲ Παλλὰς οἶκον ἀνθρώποις,
ὁ δ' αὖ Ποσειδῶν ταῦρον. ᾑρέθη τούτοις
κριτὴς ὁ Μῶμος· ἔτι γὰρ ἐν θεοῖς ᾤκει.
κἀκεῖνος, ὡς πέφυκε, πάντας ἐχθραίνων
πρῶτον μὲν εὐθὺς ἔψεγεν τὸ τοῦ ταύρου,
τῶν ὀμμάτων τὰ κέρατα μὴ κάτω κεῖσθαι,
ὡς ἂν βλέπων ἔτυπτε· τοῦ δέ γ' ἀνθρώπου,
μὴ σχεῖν θυρωτὰ μηδ' ἀνοικτὰ τὰ στήθη,
ὡς ἂν βλέποι τὸ τοῦ πέλας, τί βουλεύοι·
τῆς οἰκίης δέ, μὴ τροχοὺς σιδηρείους
ἐν τοῖς θεμελίοις γεγονέναι, τόπους τ' ἄλλους
συνεξαμείβειν δεσπόταισιν ἐκδήμοις
⟨καὶ γείτον' εὐμαρῶς πονηρὸν ἐκφεύγειν.⟩

---

14 ἀληθείας **A** 12—14 cf. **B** promyth.

**58** **A** Harleianus 3521 (**T**[yrwhitt]) **B** 44 = **C** 360 — [6] Eberhard τε **A**] δὲ **T** κατείληφε **T** 7—10 cf. **B** promyth.

**59** **A** **B** 43 = **C** $190^2$ **F** 275 = **C** $190^1$ = Aug. 100 — 3 ζώων Duebner 5 ἡρέθη **A** 7 ὡς πέφυκε, πάντας ἐχθραίνων **A** distinxit **G**] ὡς πέφυκε, πάντας ἐχθραίνειν Schneidewin 12 βλέποι τὸ τοῦ **G**] βλέποιτο τὸν **A** βλέποι τις τὸν Bergk Baiter 13 οἰκίας **A** 14 τ' **G**] δ' **A** om. Boiss. ⟨16⟩ **G**] om. **A** ἵνα καὶ τοῖς δεσπόταις συνεξεδήμει καὶ γείτονα πονηρὸν ἐξέφευγεν **B** ἵνα, ἐὰν πονηρῷ τις παροικισθῇ γείτονι, ῥᾳδίως μεταβαίνῃ (καταβαίνῃ **F**) **F** **C** Aug. eundem

[τί οὖν ὁ μῦθός φηςιν ἐν διηγήςει;
πειρῶ τι ποιεῖν, τὸν φθόνον δὲ δεῖ κρίνειν.
ἀρεςτὸν ἁπλῶς οὐδέν ἐςτι τῷ μώμῳ.]

## 60

Ζωμοῦ χύτρῃ μῦς ἐμπεςὼν ἀπωμάςτῳ
καὶ τῷ λίπει πνιγόμενος ἐκπνέων τ' ἤδη
'βέβρωκα' φηςί 'καὶ πέπωκα καὶ πάςης
τρυφῆς πέπληςμαι· καιρός ἐςτί μοι θνήςκειν.'
[τότ' ἂν λίχνος γένοιο μῦς ἐν ἀνθρώποις,
ἂν τὸ καταβλάπτον ἡδὺ μὴ παραιτήςῃ.]

Ὅτι τὰ ἐπερχόμενα κατὰ ἀνάγκην κακὰ εἰώθαςί τινες τοιούτοις λόγοις ἐξομαλίζειν.

## 61

Ἤιει κυνηγὸς ἐξ ὄρους κυνηγήςας,
ἤιει δὲ γριπεὺς κύρτον ἰχθύων πλήςας.
καί πως ςυνηβόληςαν οἱ δύ' ἀλλήλοις
χὼ μὲν κυνηγὸς ἰχθύων ἁλιπλώων,
θήρην δ' ὁ γριπεὺς ἠρέτιζεν ἀγρείην,
τά τ' εἶχον ἀντέδωκαν. εἶτα τὴν θήρην
ἤμειβον ἀεί, δεῖπνα δ' εἶχον ἡδίω,
ἕως τις αὐτοῖς εἶπεν· 'ἀλλὰ καὶ τούτων
τὸ χρηςτὸν ἐξολεῖτε τῇ ςυνηθείῃ,
πάλιν δ' ἕκαςτος ἃ πρὶν εἶχε ζητήςει.'

Ὅτι πᾶς δυςάρεςτος τοῦ παρόντος ἡδέος μικρόν τι ἀπολαύςας εὐθὺς τὴν ἐπιθυμίαν ἐφ' ἕτερον τρέπει.

## 62

Ἡμίονος ἀργὸς χιλὸν ἐςθίων φάτνης
καὶ κριθιάςας ἐτρόχαζε κἀφώνει
τένοντα ςείων· 'ἵππος ἐςτί μοι μήτηρ,

---

versum restituebat et Lachmannus (ὡς τὸν πονηρὸν γείτον' ἣν ἂν ἐκφεύγειν) et Hartungius (κἂν ᾖ πονηρός, γείτον' εὐμαρῶς φεύγειν). **F C** Aug. addunt: καὶ ὁ Ζεὺς ἀγανακτήςας κατ' αὐτοῦ ἐπὶ τῇ βαςκανίᾳ τοῦ Ὀλύμπου αὐτὸν ἐξέβαλε, quae ad v. 6 referenda esse vidit Eberhardus [17—19] Eberhard 18 τὸν φθόνον δὲ δεῖ **G**] τὸν φθόνον μὴ **A** οὐ φθόνον δὲ δεῖ Eberhard

**60 A** — 1 ζωμῷ **A** χύτρᾳ **A** 4 τρυφῆς **L**] τροφῆς **A** [5—5]**L** 6 ἐὰν **A**

**61 A** — 5 ἠρέτιζεν Duebner **L**] ἠρέθιζεν **A** 5 θήραν **A** ἀγρείην Duebner **L**] ἀγρίην **A** 9 ἐξολεῖτε Duebner] ἐξολεῖται **A** ςυνηθείᾳ **A** epim. μικρόν **L**] μικροῦ **A**

**62 A B**46 = **C**140[4] **F**83 = **C** p. 338 **C**140[1–4] — 1 ἀργὸς Fix] ἀργῆς **A** 2 κριθιήςας? Eberhard καὶ φώνει **A**

ἐγὼ δ' ἐκείνης οὐδὲν ἐν δρόμοις ἥττων.'
ἄφνω δ' ἔπαυσε τὸν δρόμον κατηφήσας·
ὄνου γὰρ εὐθὺς πατρὸς ὢν ἀνεμνήσθη.

Ὁ μῦθος διδάσκει ἡμᾶς μὴ μέγα φρονεῖν ἐν ταῖς εὐημερίαις, μάλιστα δὲ τοὺς ἐξ ἀγενῶν προγόνων κατὰ τύχην δοξασθέντας.

## 63

Ἦν τις κατ' οἴκους ἀνδρὸς εὐσεβοῦς ἥρως
ἔχων ἐν αὐλῇ τέμενος. ἔνθα δὴ θύων
στέφων τε βωμοὺς καὶ καταβρέχων οἴνῳ
προσηύχετ' ἀεί· 'χαῖρε, φίλταθ' ἡρώων,
καὶ τὸν σύνοικον ἀγαθὰ δαψιλῆ ποίει.'
κἀκεῖνος αὐτῷ νυκτὸς ἐν μέσαις ὥραις
'ἀγαθὸν μέν' εἶπεν 'οὐδ' ἂν ⟨εἷς⟩ τις ἡρώων
οὐδὲν παράσχοι· ταῦτα τοὺς θεοὺς αἴτει·
κακῶν δὲ πάντων πᾶσίν ἐσμεν ἀνθρώποις
δοτῆρες ἡμεῖς. τοιγὰρ εἰ κακῶν χρῄζεις,
εὔχου· παρέξω πολλά, κἂν ἓν αἰτήσῃς.
πρὸς ταῦτα λοιπὸν αὐτός, οἶδ', ἀπαντήσεις.'

Ὅτι τοὺς πονηροὺς οὐ δεῖ αἰτεῖν ἀγαθά· οὐ γὰρ παρέξουσιν εἰ δὲ κακά τις αἰτεῖται, ἑτοίμως μᾶλλον παρέχουσι.

## 64

Ἤριζον ἐλάτη καὶ βάτος πρὸς ἀλλήλας.
ἐλάτης δ' ἑαυτὴν πολλαχῶς ἐπαινούσης
'καλὴ μέν εἰμι καὶ τὸ μέτρον εὐμήκης
καὶ τῶν νεφῶν σύνοικος ὀρθίη φύω
στέγη τε μελάθρων εἰμὶ καὶ τρόπις πλοίων,
δένδρων τοσούτων ἐκπρεπεστάτη πάντων,'
βάτος πρὸς αὐτὴν εἶπεν· 'ἢν λάβῃς μνήμην
τῶν πελέκεών τε τῶν ἀεί σε κοπτόντων,
τῶν πριόνων τε τῶν ἀεί σε τεμνόντων,
βάτος γενέσθαι καὶ σὺ μᾶλλον αἱρήσῃ.'

---

**63** **A** **F** 80 = **C** 399 = Aug. 109 epim. Georgidae Gnom. I p. 31 — 7 οὐδ' ἂν ⟨εἷς⟩ τις Meineke] οὐδ' ἄν τις **A**   8 οὐδὲν **G**] οὔτ' ἂν **A** ὦ τᾶν G. Hermann   9 πᾶσίν ἐσμεν **G**] ἅτε σύνεστιν **A** ἄγε σύνεστιν Lachmann   [12] Bergk 12 λοιπὸν αὐτός, οἶδ', ἀπαντήσεις **G**] λοιπὸν αὐτὸς οἶδας ἂν (οἷς Seidler) θύσῃς (θύσεις Seidler) **A**

**64** **A** **B** 48 **F** 268 = **C** 180 — 8 τε add. Fix] om. **A**   9 τῶν πριόνων τε Fix] καὶ τῶν πριόνων **B** **C** καὶ τῶν πελύκων **A**

[ἅπας ὁ λαμπρὸς τῶν ἐλαττόνων μᾶλλον
καὶ δόξαν ἔςχε χὐπέμεινε κινδύνους.]

Ὁ μῦθος πρὸς τοὺς κοσμικαῖς ἀρχαῖς μεγαλοφρονοῦντας καὶ διὰ τοῦτο τῶν πέλας κατεπαιρομένους, οἳ μετὰ αὐταρκείας βιοῦντες κἀντεῦθεν τῶν μεγάλων ἐκφεύγουσι κινδύνων.

## 65

Ἤριζε γέρανος εὐφυεῖ ταῷ, τέφρη
σείοντι χρυσᾶς πτέρυγας. ʽἀλλʼ ἐγὼ ταύταις'
ἡ γέρανος εἶπεν ʽὧν σὺ τὴν χρόην σκώπτεις,
ἄστρων σύνεγγυς ἵπταμαί τε κἀκρίζω·
σὺ δʼ ὡς ἀλέκτωρ ταῖσδε ταῖς καταχρύσοις
χαμαὶ πτερύσσῃ' φησίν ʽοὐδʼ ἄνω φαίνῃ.'
[θαυμαστὸς εἶναι σὺν τρίβωνι βουλοίμην
ἢ ζῆν ἀδόξως πλουσίᾳ σὺν ἐσθῆτι.]

## 66

Θεῶν Προμηθεὺς ἦν τις, ἀλλὰ τῶν πρώτων.
τοῦτον πλάσαι μέν φασι δεσπότην ζῴων
ἄνθρωπον ἐκ γῆς, ἐκ δὲ τοῦ δύω πήρας
κρεμάσαι φέροντα πᾶσι τῶν ἐν ἀνθρώποις
κακῶν γεμούσας, τὴν πρόσω μὲν ὀθνείων,
ἰδίων δὲ τὴν ὄπισθεν, ἥτις ἦν μείζων.
διό μοι δοκοῦσι συμφορὰς μὲν ἀλλήλων
βλέπειν ἀκριβῶς, ἀγνοεῖν δὲ τὰς οἴκοι.

## 67

Θήρης ὄναγρος καὶ λέων ἐκοινώνουν,
ἀλκῇ μὲν ὁ λέων, ὁ δʼ ὄναγρος ποσὶν κρείσσων.
ἐπεὶ δὲ λείην εἶχον ἄφθονον ζῴων,

---

[11—12] Eberhard 12 καὶ ὑπέμεινε **A** epim. κατεπαιρομένων pr. **A** οἳ **A**] ὧν pr. **A** αὐταρκείας Minas] αὐταρκίας **A** βιοῦντες **A**] βιοῦντας (?) pr. **A** βιοῦσι Eberhard ἐκφεύγωσι **A**

**65 A B**47 = **C**357 **F**376 = **C** p. 408 — 1 ἤριζε γέρανος εὐφυεῖ ταῷ, τέφρη **G**] ἤριζε τέφρη (γέρανος εὐφυεῖ) ταῷ **A** ἤριζε γέρανος εὐφυεῖ ταῷ τεφρή Lachmann 4 κἀκρίζω **G**] καὶ κράζω (κλάζω M. Schmidt) **A** [7—8] Eberhard

**66 A B**50 **C**337 1—3 — 2 πλάσαι μὲν **G**] πλάσασθαι **A** ζώων **A** πλάσανθʼ ἅπασι δεσπότην ζῴοις Meineke 3 ἐκδέτους Meineke 4 φέροντα **A**] τένοντος Lachmann πᾶσι **G**] φασι **A** 6 δὲ τὴν Fix] δʼ **A** ἦν Fix] ἦν πολὺ **A** τὴν δὲ ὄπισθεν, τὴν τῶν ἰδίων, μείζω **B** [7—8] Eberhard 7 δοκοῦμεν Meineke

**67 A B**52 = **C**225 1 — 2 ὁ δʼ ὄναγρος ποσὶν **G**] ὁ δʼ ὄνος ἐν (ὧν Nauck ἦν Schneidewin) ποσὶν **A** sed cf. **B**: θῆρας ἐθήρευον λέων καὶ ὄναγρος, ὁ μὲν λέων διὰ τῆς δυνάμεως, ὁ δὲ ὄναγρος διὰ τῆς ἐν ποσὶ ταχύτητος 2 δίαν pr. **A** 3 ζώων **A**

ὁ λέων μερίζει καὶ τίθηcι τρεῖc μοίραc
καί 'τὴν μὲν αὐτόc' φηcί 'λήψομαι πρῶτοc·
βαcιλεὺc γάρ εἰμι· λήψομαι δὲ κἀκείνην
ὡc ἐξ ἴcου κοινωνόc. ἡ τρίτη δ' αὕτη
κακόν τι δώcει μὴ θέλοντί coι φεύγειν.'
[μέτρει cεαυτόν· πρᾶγμα μηδὲν ἀνθρώπῳ
δυνατωτέρῳ cύναπτε μηδὲ κοινώνει.]

## 68

Θεοῖc 'Απόλλων ἔλεγε μακρὰ δοξάζων·
'οὐκ ἂν βάλοι τιc πλεῖον οὐδὲ τοξεύcει.'
ὁ Ζεὺc δὲ παίζων ἠρίδαινε τῷ Φοίβῳ.
'Ερμῆc δ' ἔcειεν Ἄρεοc ἐν κυνῇ κλήρουc.
λαχὼν δὲ Φοῖβοc χρυcέην τε κυκλώcαc
τόξοιο νευρήν, ὀξέωc ἀφεὶc πρῶτοc
τὸ βέλοc ἔπηξεν ἐντὸc 'Εcπέρου κήπων.
ὁ Ζεὺc δὲ διαβὰc ταὐτὸ μέτρον εἱcτήκει,
καί 'ποῦ βάλω, παῖ,' φηcίν 'οὐκ ἔχω χώρην.'
τόξου δὲ νίκην ἔλαβε μηδὲ τοξεύcαc.

Ὅτι ἔcτι τινὰ καὶ κόπου χωρὶc νίκην ἄραcθαι cοφῶc τοῖc πράγμαcι κεχρημένον.

## 69

Θάμνου λαγωὸν δαcυπόδην ἀναcτήcαc
κύων ἐδίωκεν οὐκ ἄπειροc ἀγρεύειν,
δρόμῳ δ' ἐλείφθη. καί τιc αἰπόλοc cκώπτων
'ὁ πηλίκοc cου' φηcίν 'εὑρέθη θάccων.'
ὁ δ' εἶπεν· 'ἄλλωc ἄλλον ἁρπάcαι cπεύδων
τρέχει τιc, ἄλλωc δ' αὐτὸν ἐκ κακοῦ cῴζων.'

## 70

Θεῶν γαμούντων, ὡc ἕκαcτοc ἐζεύχθη,
ἐφ' ἅπαcι Πόλεμοc ἐcχάτῳ παρῆν κλήρῳ.

---

[9—10] Eberhard

**68 A V** 64 (Knoell p. 673) = **F** 351 = **C** p. 366 **C** 187 — 1 δοξάζων **G**] τοξεύων **V** τοξεύειν **A** 2 βάλλη **V** 5 δὲ **V**] δ' ὁ **A** κυκλώcαc **A**] τὸ τόξον ἐκκυκλώcαc (om. v. 6) **V** 7 κήπου **V** 8 τοῦτο **A** εἱcτήκει **A**] ἔcτι **V** 9 παῖ **A**] ναὶ **V** χώραν **A** 10 μηδὲ **A**] μὴ **V**

**69 A** 5—6 scholion Thucyd. 4, 92, 2 — 1 δαcυπόδην Ahrens] δαcύπουν **A** δαcύπον ἐξαναcτήcαc Fix 2 ἐδίωκεν **A**] μὲν ἐδίωκ' Seidler 5—6 ἄλλοc ἄλλον ἀγρεῦcαι θέλων τρέχει τιc, ἄλλοc δ' ἄλλον ἐκ κακοῦ cώζων schol. Thucyd.

**70 A B** 51 = **C** 361 — 2 restituit G. Hermannus] παρῆν ἐφ' ἅπαcι πόλεμοc ἑκάcτῳ (ἐcχάτῳ **L**) κλήρῳ **A** πόλεμοc παρῆν ἐcχάτῳ κλήρῳ **B C**

Ὕβριν δὲ γήμας, ἣν πάρος κατειλήφει,
ταύτης περισσῶς, ὡς λέγουσιν, ἠράσθη,
ἕπεται δ' ἔτ' αὐτῇ πανταχοῦ βαδιζούσῃ.
[μὴ γοῦν ἔθνη που, μὴ πόληας ἀνθρώπων
ὕβρις ἐπέλθοι προσγελῶσα τοῖς δήμοις,
ἐπεὶ μετ' αὐτὴν πόλεμος εὐθέως ἕξει.]

## 71

Ἰδὼν γεωργὸς νῆα ναυτίλων πλήρη
βάπτουσαν ἤδη κῦμα κυρτὸν ἐκ πρώρης
'ὦ πέλαγος' εἶπεν 'εἴθε μήποτ' ἐπλεύσθης,
ἀνηλεὲς στοιχεῖον ἐχθρὸν ἀνθρώποις.'
ἤκουσε δ' ἡ θάλασσα καὶ γυναικείην
λαβοῦσα φωνὴν εἶπε· 'μή με βλασφήμει·
ἐγὼ γὰρ ὑμῖν οὐδὲν αἰτίη τούτων,
ἄνεμοι δ' ἐλῶντες, ὧν ἐγὼ μέση κεῖμαι.
τούτων δὲ χωρὶς ἣν ἴδῃς με καὶ πλεύσῃς,
ἐρεῖς με τῆς σῆς ἠπιωτέρην γαίης.'
[ὅτι πολλὰ χρηστὰ πράγμαθ' αἱ κακαὶ φῦσαι
τρέπουσιν εἰς τὸ χεῖρον, ὡς δοκεῖν φαῦλα.]

Ὁ μῦθος οὗτος ἐλέγχει ἐκείνους οἵτινες διαβολαῖς πρὸς τοὺς δυνάστας βλάπτειν πέφυκαν τοὺς πέλας, οἳ παραπλήσιοί εἰσιν ἀνέμοις χειμερίοις.

## 72

Ἶρίς ποτ' οὐρανοῖο πορφυρῇ κῆρυξ
πτηνοῖσι κάλλους εἶπεν ἐν θεῶν οἴκοις
ἀγῶνα κεῖσθαι· πᾶσι δ' εὐθὺς ἠκούσθη,
καὶ πάντα θείων ἔσχεν ἵμερος δώρων.
ἔσταζε πέτρης αἰγὶ δυσβάτου κρήνη,

---

3 ἣν πάρος **G**] ἣν ἄρης **A** ἣν μόνην Hertzberg cf. **B**: Ὕβριν δὲ μόνην κατέλαβεν 5 δ' ἔτ' αὐτῇ Lachmann] δὲ ταύτῃ **A** δὲ αὐτῇ **B** [6—8] Eberhard] 6 πόληας Nauck] πολτὰς (εις supra τ; εις a m. rec.) **A** πολίσματ' M. Schmidt

**71** **A** **B** 54 **F** 348 = **C** p. 385 **C** 247 — 2 πρώρης Duebner] πρώτης **A** 8 δ' ἐλῶντες **G**] δὲ πάντες **A** ἀλλ' οἱ ἐκταράσσοντές με ἄνεμοι **B** δὲ πάντως Duebner [11—12] Boiss. 11 φῦσαι **G**] φύσεις **A** οἱ χαιρέκακοι παραφυσῶντες **B** promyth. χρήσεις **L**

**72** **A** **B** 59 = **C** $188^{7}$ **F** 78 = **C** p. $367^{1}$ **C** $188^{1-6}$ et p. $367^{2}$ — 1 οὐρανοῖο Duebner] οὐρανίου **A** 4 θείων Duebner] θεῖον **A** ἵμερος Duebner] ἵμερον **A** δώρων Duebner] ζώιων **A** 'fort. ἀέθλων.. θείων' Eberhard 5 αἰγὶ **A**] στυγὶ **B** κρήνης **A**

καἰθέριον ὕδωρ καὶ διαυγὲς εἱςτήκει·
πάντων τ' ἐπ' αὐτὸ φῦλον ἦλθεν ὀρνίθων,
πρόςωπα δ' αὑτῶν ἐξέλουε καὶ κνήμας,
ἔςειε ταρςούς, ἐκτένιζε τὰς χαίτας.
ἦλθεν δ' ἐκείνην καὶ κολοιὸς εἰς κρήνην
γέρων, κορώνης υἱός, ἄλλο δ' ἐξ ἄλλου
πτερὸν καθύγρων ἐντὸς ἁρμόςας ὤμων
μόνος τὰ πάντων ποικίλως ἐκοςμήθη,
καὶ πρὸς θεοὺς ἤιξεν αἰετοῦ κρείςςων.
ὁ Ζεὺς δ' ἐθάμβει καὶ παρεῖχε τὴν νίκην,
εἰ μὴ χελιδὼν αὐτόν, ὡς 'Αθηναίη,
ἤλεγξεν ἑλκύςαςα τὸ πτερὸν πρώτη.
ὁ δ' εἶπεν αὐτῇ· 'μή με ςυκοφαντήςῃς.'
τὸν δ' ἄρα τρυγὼν ἐςπάραςςε καὶ κίχλη
καὶ κίςςα καὶ κορυδαλὸς οὑν τάφοις παίζων
χὡ νηπίων διψηλὸς ὀρνέων ἴρηξ
τά τ' ἄλλ' ὁμοίως. καὶ κολοιὸς ἐγνώςθη.
[ὦ παῖ, ςεαυτὸν κόςμον οἰκεῖον κόςμει·
κόςμοις γὰρ ἑτέρων ἐμπρέπων ςτερηθήςῃ.]

Ὅτι οἱ νόθον καὶ ἐπείςακτον ἑαυτοῖς περιθέντες κόςμον, ἀλλοτρίῳ δὲ κάλλει ςεμνυνόμενοι, εἴ ποτε τοῦ τοιούτου γυμνωθεῖεν, γέλως λοιπὸν τοῖς πρὶν ἀγνοοῦςιν ὁρῶνται.

## 73

Ἴκτινος αὐδὴν ἄλλοτ' ὀξέην εἶχεν·
ἵππου δ' ἀκούςας χρεμετίςαντος εὐφώνως,
μιμούμενος τὸν ἵππον οὔτε τὴν κρείςςω
φωνὴν θελήςας ἔςχεν οὔτε τὴν πρώτην.

Ὅτι οἱ τῶν ἀδυνάτων ἐρῶντες ἔςθ' ὅτε καὶ τῶν μετὰ χεῖρας ἀςτοχοῦςιν.

---

6 καἰθέριον Eberhard] καὶ θερινὸν **A** 8 αὐτῶν **A** 10 ἦλθε **A** 12 καθύγρων Meineke] καθ' ὑγρῶν **A** 16 'Αθηναία **A** 19 ἆρα **L**] ἄρα **A** ἐςπάραττε **A** Boiss. κίχλη **L***] κίχλα **A** 20 κορυδαλὸς Minas] κορύδαλλος pr. **A** κορυδαλλὸς rec. **A** παίζων **A**] τρίζων Seidler ςπίζων Bergk 21 καὶ ὁ **A** διψηλὸς **G**] δ' ἔφηβος **A** ἔφεδρος Boiss. [23 - 24] Lachmann 24 κόςμοις γὰρ ἑτέρων ἐμπρέπων **G**] τοῖς ἑτέρων γὰρ ἐμπρέπων τούτων **A** κόςμοις ξένοις γὰρ ἐμπρέπων G. Hermann epim. ἀγνοῶςιν pr. **A**

**73 A B** 55 **C** 293 1—2 — 1 αὐδὴν ἄλλοτ' ὀξέην εἶχεν **G**] ἄλλην ὀξέην εἶχε κλαγγήν **A** φωνὴν εἶχεν ἄλλην ὀξεῖαν **B** 3 κρείττω **A** 3 sq. μιμούμενος τὸν ἵππον καὶ ςυνεχῶς τοῦτο ποιῶν καὶ ταύτην μὴ καλῶς ἐκμαθὼν καὶ τῆς ἰδίας φωνῆς ἐςτέρηται. καὶ οὔτε τὴν τοῦ ἵππου ἔςχεν οὔτε τὴν πρώτην **B** num in **A** lacuna statuenda? 4 πρῴην Nauck

## 74

Ἵππος τε καὶ βοῦς καὶ κύων ὑπὸ ψύχους
κάμνοντες ἦλθον οἰκίην ἐς ἀνθρώπου.
κἀκεῖνος αὐτοῖς τὰς θύρας ἀναπλώσας
παρῆγεν ἔνδον καὶ παρ' ἑστίῃ θάλψας
πυρὸς γεμούσῃ παρετίθει τι τῶν ὄντων,
κριθὰς μὲν ἵππῳ, λάθυρα δ' ἐργάτῃ ταύρῳ·
ὁ κύων παρ' αὐτῷ συντράπεζος εἱστήκει.
ξενίης δ' ἀμοιβὴν ἀντέδωκαν ἀνθρώπῳ
μερίσαντες αὐτῷ τῶν ἐτῶν ἀφ' ὧν ἔζων,
ὁ μὲν ἵππος εὐθύ· διόπερ ἐν χρόνοις πρώτοις
ἕκαστος ἡμῶν γαῦρός ἐστι τὴν γνώμην·
ὁ δὲ βοῦς μετ' αὐτόν· διόπερ εἰς μέσους ἥκων
μοχθεῖ φίλεργός τ' ἐστὶν ὄλβον ἀθροίζων.
ὁ κύων δ' ἔδωκε, φασί, τοὺς τελευταίους·
διὸ δυσκολαίνει, Βράγχε, πᾶς ὁ γηράσας
καὶ τὸν διδόντα τὴν τροφὴν μόνον σαίνει,
ἀεὶ δ' ὑλακτεῖ καὶ ξένοισιν οὐ χαίρει.

Διαβολὴν ὁ μῦθος ἔχει ἀνδρῶν ἐκείνων τῶν μηδεμίαν τοῖς ξένοις πρόνοιαν ποιουμένων, εἰς μόνους δὲ τοὺς οἰκείους τὴν στοργὴν περιιστώντων, ἀπὸ τῆς τοῦ κυνὸς ὑποδείξεως.

## 75

Ἰατρὸς ἦν ἄτεχνος. οὗτος ἀρρώστῳ,
πάντων λεγόντων 'μὴ δέδιθι, σωθήσῃ·
πάθος μέν ἐστι χρόνιον, ἀλλ' ἔσῃ ῥᾴων,'
ὁ δίχα τέχνης ἰατρὸς εἶπεν εἰσβαίνων·
'ἕτοιμα δεῖ σε πάντ' ἔχειν· ἀποθνήσκεις·
οὐδὲν ἀπατῶ σε' φησίν 'οὐδ' ἐνεδρεύω,
τὴν αὔριον γὰρ τό γ' ἐμὸν οὐχ ὑπερβήσῃ.'
ταῦτ' εἶπε καὶ τὸ λοιπὸν οὐκέτ' εἰσῄει.

---

**74** **A** **B** 58 = **C** 194 Aug. 55 — 6 λάθυρα **A**] ἄχυρα **B** 7 παρ' **G**] γὰρ **A** δ' ἀρ' Eberhard 8 ξενίας **A** 9 ἐτῶν **A** **B** Aug.] ἐθῶν Duebner **L*** ἀφ' **G**] ἀφ' **A** ἐφ' **B** 13 τ' add. Boiss. διὰ τοῦτο μοχθηρὸς καὶ φιλεργός ἐστι πλοῦτον ἀθροίζων **B**

**75** **A** **B** 53 — 2 δεδειθι **A** τι δέδιθι Ahrens 4 δίχα τέχνης **G**] δ' ἀτεχνῆς **A** [4] Bergkius, qui praeterea v. 6 ante 5 conlocabat 6 οὐδὲν ἀπατῶ **G**] οὐκ ἐξαπατῶ **A** 7 τό γ' ἐμὸν **G**] τὸ μακρὸν **A** 4—7 οὗτος μόνος ἔφη αὐτῷ πάντα τὰ αὐτοῦ ἑτοιμάσειν· 'τὴν αὔριον γὰρ οὐχ ὑπερβήσῃ' **B**

χρόνῳ δ' ἐκεῖνος ἐκ νόcων ἀναcφήλας
προῆλθεν ὠχρός, τοῖc ποcὶν μόλιc βαίνων.
ὁ δ' ἰατρὸc αὐτῷ 'χαῖρ'' ἔφη cυναντήcαc
καί 'πῶc ἔχουcιν οἱ κάτω;' διηρώτα.
κἀκεῖνοc εἶπεν· 'ἠρεμοῦcι τῆc Λήθηc
πίνοντεc. ἡ Κόρη δὲ χὡ μέγαc Πλούτων
πρῴην ἰατροῖc δεινὰ πᾶcιν ἠπείλουν,
ὅτι τοὺc νοcοῦνταc οὐκ ἐῶc' ἀποθνήcκειν.
ἀνέγραφον δὲ πάνταc, ἐν δὲ τοῖc πρώτοιc
καὶ cὲ γράφειν ἔμελλον· ἀλλ' ἐγὼ δείcαc
εὐθὺc προcῆλθον ἡψάμην τε τῶν cκήπτρων
κἀπώμοc' αὐτοῖc ὅτι cὺ ταῖc ἀληθείαιc
ἰατρὸc οὐκ εἶ καὶ μάτην διεβλήθηc.'

Ὁ μῦθοc οὗτοc ῥηθήcεται πρὸc τοὺc κενὸν ὄνομα ἐπὶ πράγματί τινι κεκτημένουc, τὴν δὲ τούτου πεῖραν παντελῶc οὐκ ἔχονταc.

## 76

Ἱππεὺc τὸν ἵππον, ἄχρι μὲν cυνειcτήκει
ὁ πόλεμοc, ἐκρίθιζε κἄτρεφεν χόρτῳ
παραcτάτην γενναῖον ἐν μάχαιc κρίνων·
ἐπεὶ δ' ἐπαύcατ', ἦν δὲ λοιπὸν εἰρήνη
καὶ μιcθὸν ἱππεὺc οὐκέτ' εἶχεν ἐκ δήμου,
τότ' ἐκεῖνοc ἵπποc πολλάκιc μὲν ἐξ ὕληc
κορμοὺc παχεῖc κατῆγεν εἰc πόλιν βαίνων
μιcθῷ τε φόρτον ἔφερεν ἄλλοτ' ἀλλοῖον
τὸ πνεῦμα cώζων ἐπ' ἀχύροιcι δυcτήνοιc
cάγην τε νώτοιc ἔφερεν οὐκέθ' ἱππεύων.
ὡc δ' αὖ πρὸ τειχῶν πόλεμοc ἄλλοc ἠκούcθη
cάλπιγξ τ' ἐφώνει πᾶcιν ἀcπίδα cμήχειν
ἵππουc τε κοcμεῖν καὶ cίδηρον ὀξύνειν,
κἀκεῖνοc αὐτὸc ἵππον ἐγχαλινώcαc
ὁ δεcπότηc παρῆγεν ὡc ἐφιππεύcων.

---

10 ποcὶ pr. **A** 12 καί 'πῶc ἔχουcιν οἱ κάτω;' διηρώτα **G**] 'χαῖρ'' ἔφη 'πῶc ἔχουcιν οἱ κάτω;' **B** καὶ πῶc ἔχουcιν οἱ κάτω διηρώτα **A** 14 πιόντεc **B** Duebner **L** 16 recepi ex **B** (ἐῶcιν)] ἐπὶ τῷ θεραπεύειν τοὺc νοcοῦνταc ἀνθρώπουc **A** epim. ἐχόντων **A**

**76 A B** 57 = **C** 362 — 2 κἄτρεφε **A** 9 δυcτήνοιc **A** (ἀχύρῳ μόνῳ τρεφόμενοc **B**)] δυcτήνωc Schneidewin 10 δὲ **L*** ἱππεύων **G**] ἱππεῦcιν **A** ἱππείην **L*** 12 ἐφώνει **B L**] ἐκέλευε **A** 14 αὐτὸc **G** (τὸν ἵππον χαλινώcαc ὁ δεcπότηc καὶ αὐτὸc ὁπλιcθεὶc ἐπέβη **B**)] αὐτὸν **A** αὖ τὸν **L***

ὁ δ' ὀκλάcαc ἔπιπτεν οὐκέτ' ἰcχύων.
'ἔνταccε πεζοῖc cαυτόν' εἶπεν 'ὁπλίταιc·
cὺ γάρ μ' ἀφ' ἵππων εἰc ὄνουc μεταcτήcαc
πῶc αὖθιc ἵππον ἐξ ὄνου με ποιήcειc;'

Μηδαμῶc τοῦ παρόντοc δεῖν ἡμᾶc ἐπιμελεῖcθαι μόνον ὁ μῦθοc διδάcκει, ἀλλὰ καὶ τοῦ μέλλοντοc προνοεῖcθαι· τὸ γὰρ μὴ οὕτωc γινόμενον πολλοῖc πολλάκιc οὐ τὴν τυχοῦcαν ἤγαγε βλάβην.

## 77

Κόραξ δεδηχὼc cτόματι τυρὸν εἱcτήκει·
τυροῦ δ' ἀλώπηξ ἰχανῶcα κερδῴη
μύθῳ τὸν ὄρνιν ἠπάτηcε τοιούτῳ·
'κόραξ, καλαί coι πτέρυγεc, ὀξέη γλήνη,
θεητὸc αὐχήν· cτέρνον αἰετοῦ φαίνειc,
ὄνυξι πάντων θηρίων κατιcχύειc·
ὁ τοῖοc ὄρνιc κωφόc ἐccι κοὐ κρώζειc.'
κόραξ δ' ἐπαίνῳ καρδίην ἐχαυνώθη,
cτόματοc δὲ τυρὸν ἐκβαλὼν ἐκεκράγει.
τὸν ἡ cοφὴ λαβοῦcα κερτόμῳ γλώccῃ
'οὐκ ἦcθ' ἄφωνοc' εἶπεν 'ἀλλὰ φωνήειc.
ἔχειc, κόραξ, ἅπαντα, νοῦc δέ c' ἐλλείπει.'

Ὁ μῦθοc διδάcκει μηδαμῶc ἄνθρωπον ἐπαίνοιc ἐξαπατᾶcθαι· ζημίαι γὰρ ἐντεῦθεν καὶ ἀτιμίαι εἰώθαcι γίνεcθαι.

## 78

Κόραξ νοcήcαc εἶπε μητρὶ κλαιούcῃ·
'μὴ κλαῖε, μῆτερ, ἀλλὰ τοῖc θεοῖc εὔχου
νόcου με δεινῆc καὶ πόνων ἀναcφῆλαι.'
'καὶ τίc cε' φηcί 'τῶν θεῶν, τέκνον, cώcει;
τίνοc γὰρ ὑπὸ coῦ βωμὸc οὐκ ἐcυλήθη;'

Ὅτι τοῖc ἀμεταμέλητα, φηcίν, εἰc θεὸν πλημμελοῦcιν ἀνωφελεῖc γίνονται αἱ ὑπὲρ αὐτῶν δεήcειc.

---

**77** **A** **V** 242 (Knoell p. 682) **B** 61 **C** 204[1] = Aug. 123 **C** 204[2–5] — 2 ἰχανῶcα **A**] ἐρῶcα **V** 4 τοι **V** ὀξεῖαι γλῆναι **V** 7 τοιοῦτοc **V** ὁ τοιοῦτοc **B** ἐccι **A**] ἤcθα **V** 10 τὸν **A** (τοῦτον δὲ **B**)] ὃν **V**, in quod inciderat Eberhardius 11 ἦcθα **V** φηcὶν **V** — φωνήειc **A**] φωνάειc **V** φωνέειc? pr. **A** 12 τὰ πάντα Aug. cε λείπει **V** 'i. e. c' ἐλλείπει' **L** coι λείπει (λίπει **B**) **A** **B** νοῦ μόνον κτῆcαι Aug.

**78** **A** **B** 63 **F** 87 = **C** p. 334 **C** 132 — 4 τέκνον post cε legitur in **C** epim. γίγνονται **A**

## 79

Κρέας κύων ἔκλεψεν ἐκ μαγειρείου,
καὶ δὴ παρῄει ποταμόν· ἐν δὲ τῷ ῥείθρῳ
πολὺ τοῦ κρέως ἰδοῦςα τὴν ςκιὴν μείζω
τὸ κρέας ἀφῆκε, τῇ ςκιῇ δ' ἐφωρμήθη.
ἀλλ' οὔτ' ἐκείνην εὗρεν οὔθ' ὃ βεβλήκει,
πεινῶςα δ' ὀπίςω τὸν πόρον διεξῄει.
[βίος ἀβέβαιος παντὸς ἀνδρὸς ἀπλήςτου
ἐλπίςι ματαίαις πραγμάτων ἀναλοῦται.]

## 80

Κάμηλον ἠνάγκαζε δεςπότης πίνων
ὀρχεῖςθ' ὑπ' αὐλοῖς κυμβάλοις τε χαλκείοις.
ἡ δ' εἶπ'· 'ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν
μὴ καταγέλαςτον, μήτι πυρρίχην παίζειν.'

Ἀντίρρηςιν ὁ λόγος ἔχει παρὰ τῶν ςωφρόνως ζῆν αἱρουμένων πρὸς τοὺς ἐν βίῳ κενὰ ἐπινοουμένους.

## 81

Κερδοῖ πίθηκος εἶπεν· 'ἣν ὁρᾷς ςτήλην,
ἐμοὶ πατρῴη τ' ἐςτὶ κἄτι παππῴη.'
κερδὼ πιθήκῳ φηςίν· 'ὡς θέλεις ψεύδου
ἔλεγχον οὐκ ἔχουςα τῆς ἀληθείης.'
[κακοῦ πρὸς ἀνδρός ἐςτι μὴ φυγεῖν ψεῦδος,
ἂν λανθάνειν ψευδόμενος εὐχερῶς μέλλῃ.]

Οὕτως οἱ λίαν ψευδολόγοι τότε μάλιςτα καταλαζονεύονται, ὅτε τοὺς ἐλέγχους κατ' ὄψιν οὐκ ἔχουςι.

---

**79 A** 7—8 Georgides Gnom. I p. 17 **B** 66 **F** 339 = **C** 209[6] **C** 209[1—5] Aug. 132 — 2 παρῄει **A** (παρὰ ποταμόν τινα φέρων κρέας **C**[3] ποταμοῦ πληςίον tetrastichon)] διεπέρα **B** διέβαινε **C**[1—2] Aug. περαιούμενος δὲ αὐτὸν **C**[5] [7—8] **L** = promyth. **B** 8 ματαίων Georgides

**80 A** 3b—4 **S** (πυρρίχη) **F** 353 = **C** 405 — 2 αὐλῆς (οῖς suprascriptum: οῖς suprascripsit m. ant.) **A** 3 κ' ἂν **A** 4 μήτε **S** nonnulli libri ἄνευ γέλωτος μήτι κ' ἂν χόρῳ παίζειν **A**

**81 A** 1—2 **S** (πίθηκος) **F** 334 = **C** 374[1] **C** 374[2] = Aug. 14 — 1 κερδὼ πιθήκῳ φηςίν **A S** et 3 κερδοῖ πίθηκος εἶπεν **A**; hemistichia transposuit Bergkius, recte, ut apparet ex **C** Aug. 2 τ' **A S**] τοῦτ' **S** nonnulli libri κἄτι Toup] καί τι aut κἔτι **S** libri ἐμὴ πατρώια τ' ἐςτὶ κα'' μὴ παππῶια **A** 4 ἀληθείας **A** [5—6] Duebner **L** 5 φυγεῖν Fix] φεύγειν **A** ἂν Bergk] κἂν **A**

## 82

Κοιμωμένου λέοντος ἀγρίης χαίτης
διέδραμεν μῦς· ὁ δὲ λέων ἐθυμώθη,
φρίξας δὲ χαίτην ἔθορε φωλάδος κοίτης.
κερδὼ δ' ἐπεχλεύαζεν, ὡς ἐκινήθη
πρὸς μῦν ὁ πάντων θηρίων τυραννεύων.
ὁ δ' ʻοὐχὶ τὸν μῦν' εἶπεν, ʻὦ παλαμναίη,
δέδοικα, μή μου τὴν δορὴν κνίσῃ φεύγων·
χαίτην δ' ἔμελλε τὴν ἐμὴν καταισχύνειν.'
[ἀρχόμενον ἄρτι τὸ θρασὺ τῶν ὑβριζόντων,
κἂν μικρὸν ᾖ, κώλυε μηδὲ συγχώρει
εὐκαταφρόνητον σαυτὸν εἶναι τοῖς φαύλοις.]

Ὁ λόγος διδάσκει ὅτι οὐδὲ ὑπὸ τῶν μετρίων δεῖ ἡμᾶς καταφρονεῖσθαι, διὰ τὸ μὴ ἐντεῦθεν συνήθειαν κακὴν γεννηθῆναι.

## 83

Κριθάς τις ἱπποκόμος ἔκλεπτε κἀπώλει,
τὸν δ' ἵππον ἐκτένιζεν ἡμέρην πᾶσαν.
ὁ δ' εἶπεν· ʻεἰ θέλεις με ταῖς ἀληθείαις
καλὸν γενέσθαι, τὸ τρέφον με μὴ πώλει.'
[τῶν καιρίων δεῖ τὸν φιλοῦντα φροντίζειν
καὶ συμφερόντων· οὐ γὰρ οὐδὲν ὠνήσει
κόσμος τὸν ἀπορήσαντα τῶν ἀναγκαίων.]

Ὁ παρὼν ῥηθήσεται λόγος πρὸς τοὺς ἀντὶ ἀναγκαίων πραγμάτων τοῖς λόγοις μόνοις τοὺς πέλας ἀπαντῶντας.

---

**82** **A** 1—2 (φριξότριχα), 3 (ter φριξότριχα, ἔκθορεν, φωλάδι), 6—8 (παλαμναῖος) **S** **B** 65 **F** 95 = **C** p. 374 = Aug. 144 **C** $218^{1-3}$ — 2 διέδραμε **A** 3 ἔκθορε **S** (ter) κοίτης **A** **S** (cod. **E** = Bruxellensis in v. ἔκθορε)] κοίλης **S** libri reliqui 5 θηρίων τυραννεύων **L***] βασιλεύων θηρίων **A** 6 ἡ παλαμναία **S** 7 δορὰν **S** κνίσῃ **A**] δάκοι (δάκῃ duo libri) **S** 8 κακὴν δὲ μελέτην ἐπ' ἐμὲ τῆς ὁδοῦ τρίβει **A** ἀλλὰ τὴν κακὴν ὁδὸν καὶ συνήθειαν ἀνακόπτω (ἀνατρέπω **C**[1]) **B** **C** οὐ μῦν πτοοῦμαι, τὴν ὁδὸν δ' ἀνατρέπω tetrastichon ἀλλὰ κατὰ τῆς γνώμης αὐτοῦ τὴν ὀργὴν ἔχω **C** p. 374 Aug. [9—11] **L** 11 εἶναι σεαυτὸν pr. **A**; correxit m. ant.

**83** **A** **V** 68 (Knoell p. 674) **B** 67 — 1—2 restitui **B** potissimum secutus ducem, qui habet: κριθὴν τὴν τοῦ ἵππου ὁ ἱπποκόμος κλέπτων καὶ πωλῶν τὸν ἵππον ἔτριβεν, ἐκτένιζεν πᾶσαν ἡμέραν] κριθάς τις ἵππου (ἵππου τις κριθὰς **V**) πᾶσαν ἡμέραν (ἑσπέραν **V**) πίνων (2) ἔτριβεν (ἔψυχεν **V**) ἐκτένιζεν ἡμέρῃ πάσῃ **A** **V** inter ἵππου et πᾶσαν duo hemistichia excidisse putabant Duebnerus et Meinekius 3 ὅδ' **A** [5—7] Eberhard; hos versus, qui in **A** a superioribus versibus seorsum orationis pedestris instar litteris uncialibus atque ita, ut versus choliambici non appareant, scripti inveniuntur, cum restituisset Boiss., tamquam epimythium prosa oratione conscriptum adnotationi criticae inseruit **L** 6 οὐ γὰρ **G**] κόσμος γὰρ **A** κόσμος (om. γὰρ) Boiss. καὶ γάρ? Eberhard 7 κόσμος τὸν ἀπορήσαντα **G**] τὸν ἀποροῦντα **A** κόσμος

## 84

Κώνωψ ἐπιστὰς κέρατι καμπύλῳ ταύρου
μικρόν τ' ἐπισχὼν εἶπε ταῦτα βομβήσας·
'εἴ σου βαρύνω τὸν τένοντα καὶ σείω,
καθεδοῦμ' ἀπελθὼν ποταμίης ἐπ' αἰγείρου.'
ὁ δ' 'οὐ μέλει μοι' φησίν 'οὔτ' ἐὰν μείνῃς
οὔτ' ἂν ἀπέλθῃς· οὐδ' ὅτ' ἦλθες ἐγνώκειν.'
[γελοῖος ὅστις οὐδὲν ὢν κατ' ἀνθρώπων
τῶν κρειττόνων θρασύνεθ' ὥς τις ἀνθρώπων.]

Κατηγορίαν ὁ λόγος περιέχει ἀνδρὸς εὐτελοῦς καὶ λίαν ἀδυνάτου, ὑπολήψεις δὲ μεγάλας περὶ ἑαυτοῦ κεκτημένου.

## 85

Κυσίν ποτ' ἔχθρα καὶ λύκοις συνειστήκει.
κύων δ' Ἀχαιὸς ᾑρέθη κυνῶν δήμου
στρατηγὸς εἶναι. καὶ μάχης ἐπιστήμων
ἔμελλεν, ἐβράδυνεν. ὡς δ' ἐπηπείλουν,
εἰ μὴ προάξει τὴν μάχην, ἐνεδρεύσας
'ἀκούσατ'' εἶπεν 'οὗ χάριν διατρίβω,
τί δ' εὐλαβοῦμαι· χρὴ δ' ἀεὶ προβουλεύειν.
τῶν μὲν πολεμίων τὸ γένος ὧν ὁρῶ πάντων
ἕν ἐστιν· ἡμῶν δ' ἦλθον οἱ μὲν ἐκ Κρήτης,
οἱ δ' ἐκ Μολοσσῶν εἰσιν, οἱ δ' Ακαρνάνων,
ἄλλοι δὲ Δόλοπες, οἱ δὲ Κύπρον ἢ Θρᾴκην
αὐχοῦσιν, ἄλλοι δ' ἄλλοθεν. τί μηκύνω;

---

γε τὸν ἀποροῦντα? Eberhard σάφ' ἴσθι, τὸν ἀποροῦντα Boiss. epim. Ὁ παρὼν ῥηθήσεται λόγος **A**] ὁ μῦθος **V** ἀπαντῶντας **G**] ἐξαπατῶντας **A** δελεάζοντας **B** promyth.

**84 A** Dosithei Magistri Interpretamentorum lib. III (ed. Boecking, cf. p. 36) cod. Voss(ianus) **B** 70 = **F** 294 = **C** 213⁴ **C** 213 1—3 Aug. 136 — 1 ἐπιστὰς **A** Aug.] επιτας *sedit adueniens* Voss. ἐκαθέσθη **B C**[1] ἐκάθητο **F** ἐπιπτὰς Tyrwhitt κέρατι καμπύλῳ **A**] κεπατι καμπυλω *cornu curuo* Voss. καμπύλῳ κέρᾳ Seidler ταυρος Voss. 2 δε επισχον Voss. 3 τεναντα Voss. καὶ σείω **G**] καὶ σαίνω **A** και κλινω *et camso incuruo* Voss. κάσαίνω Ahrens 4 καθευδομαι η κατελθω *ibi dormio sedebo aut discedo* ποταμίας **A** ποταμιοσις ιναιγιροις *fluminalib. popaulis* i. e. ποταμίαις ἐν αἰγείροις Voss. 5 οδε ουμελι μοι *ad nos pertinet* Voss. ουταν *nec si* Voss. 6 οὐδ' ὅτ' Tyrwhitt] ουτε οτε *nec quando* Voss. οὔθ' ὅτ' **A** [7—8] **L** om. Voss. 8 θρασύνεται **A** ἀνθρώπων **G**] ὤν. **A** σφόδρα add. m. rec. **A** ὢν λίην Boiss.

**85 A** 14—15 (διάργεμοι) **S B** 86 = **C** 359 — 4 ὡς **G**] οἱ **A** οἱ δὲ λύκοι **B C** 5 προάξει **L**] προάξῃ **A** τὴν μάχην, ἐνεδρεύσας **G**] τὴν μάχην ἐνεδρεύσει **A** τὴν μάχην, ἐνεδρεύσειν Lachmann τὴν μαχήν τ' ἐνεργήσει Haupt 7 τῶν πολεμίων μὲν Fix 9 δὲ **A**

τὸ χρῶμα δ' ἡμῖν οὐχ ἕν ἐςτιν ὡς τούτοις,
ἀλλ' οἱ μὲν ἡμῶν μέλανες, οἱ δὲ τεφρώδεις,
ἔνιοι δὲ λαμπροὶ καὶ διάργεμοι ςτήθη,
ἄλλοι δὲ λευκοί. πῶς ἂν οὖν δυνηθείην
εἰς πόλεμον ἄρχειν' εἶπε 'τῶν ἀςυμφώνων
πρὸς τοὺς ὅμοια πάντ' ἔχοντας ἀλλήλοις;'
[ςυμφωνία μέγιςτον ἀγαθὸν ἀνθρώποις·
τὸ δὲ ςταςιάζον ἀςθενές τε καὶ δοῦλον.]

## 86

Κοίλωμα ῥίζης φηγὸς εἶχεν ἀρχαίη·
ἐν τῇ δ' ἔκειτο ῥωγὰς αἰπόλου πήρη,
ἄρτων ἑώλων πᾶςα καὶ κρεῶν πλήρης.
ταύτην ἀλώπηξ εἰςδραμοῦςα τὴν πήρην
ἐξέφαγε· γαςτὴρ δ', ὥςπερ εἰκός, ὠγκώθη,
ςτενῆς δὲ τρώγλης οὐκέτ' εἶχεν ἐκδῦναι.
ἑτέρη δ' ἀλώπηξ ὡς ἐπῆλθε κλαιούςῃ,
ςκώπτουςα 'μεῖνον' εἶπεν 'ἄχρι πεινήςῃς·
οὐδ' ἐξελεύςῃ πρότερον ἄχρι τοιαύτην
τὴν γαςτέρα ςχῇς, ἡλίκην ὅτ' εἰςῄεις.'

Ὁ μῦθος παραινεῖ μηδαμῶς ςπεύδειν τινὰ πρὸς πλεονεξίαν τοῦ πέλας. γίνωςκε ὅτι τὰ χαλεπὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει.

## 87

Κύων λαγωὸν ἐξ ὄρους ἀναςτήςας
ἐδίωκε, δάκνων αὐτόν, εἰ κατειλήφει,
αἵματι τραφεὶς δ' ἔςαινεν ὡς φίλου ψαύων.
ὁ λαγωός 'ἁπλοῦν' εἶπε 'θηρίον γίνου.

---

14 ἀλλ' οἱ **S**] ἄλλοι **A** ὑμῶν **S** 15 ἔνιοι δὲ λαμπροὶ **A**] ἕτεροι ξανθοὶ **S** οἱ δὲ πυρροὶ **B C** [19—20] Duebner **L** 19 ὅτι ςυμφωνία (ὅτι expunxit m. rec.) **A**

**86 A** 2—3 (ῥωγαλέον) **S B**64 **F**12 = **C** p. 350 **C**158$^{1-3}$ — 2 αἰπόλων πήρα **S** 7 ἑτέρα **A** 8 ςκώπτουςα 'μεῖνον' Duebner **L**] ςτώπτους' ἄμεινον (να suprascripsit m. ant.) **A** 8—9 [ἄχρι... πρότερον] Eberhard epim. τοῦ πέλας. γίνωςκε **G**] τοῦ πέλας γινώςκων **A** τοῦ πέλας, διδάςκων Eberhard

**87 A B**68 = **C**354$^{3}$ **F**346 = **C**354$^{2}$ — 3 αἵματι τραφεὶς δ' **G** duce **F** qui haec habet: ποτὲ δὲ τὸ ἐντεῦθεν ἀπορρέον αὐτοῦ αἷμα ἀνέλειχεν·] μεταςτραφεὶς δ' **A** μεταςταθεὶς δ' Duebner εἶτ' αὖ ςτραφεὶς Eberhard φίλου Sauppe] φίλῳ **A** ἔςαινε κἀφίλει ψαύων Eberhardus secutus **C** (= **B**): ποτὲ δὲ ςαίνων προςέχαιρε καὶ ἐφίλει (ἠφίει **B**): sed cf. quae **F** habet multo saniora: ὁ δὲ λαγωὸς ἐδόκει τὸν κύνα καταφιλεῖν μᾶλλον αὐτόν 4 ὁ rec. **A**] χὠ pr. **A** δ' εἶπε m. rec. **A**

φίλος εἶ; τί δάκνεις; ἐχθρὸς εἶ; τί οὖν caίνεις;'
[ἀμφίβολος οὗτός ἐςτι νοῦς ἐν ἀνθρώποις,
οἷς οὔτ' ἀπιςτεῖν ἔχομεν οὔτε πιςτεύειν.]

## 88

Κορυδαλλὸς ἦν τις ἐν χλόῃ νεοςςεύων,
ὁ τῷ χαραδριῷ πρὸς τὸν ὄρθρον ἀντᾴδων,
καὶ παῖδας εἶχε ληίου κόμῃ θρέψας
λοφῶντας ἤδη καὶ πτεροῖςιν ἀκμαίους.
ὁ δὲ τῆς ἀρούρης δεςπότης ἐποπτεύων
ὡς ξηρὸν εἶδε τὸ θέρος, εἶπε· 'νῦν ὥρη
πάντας καλεῖν μοι τοὺς φίλους, ἵν' ἀμήςω.'
καί τις κορυδαλλοῦ τῶν λοφηφόρων παίδων
ἤκουεν αὐτοῦ τῷ τε πατρὶ μηνύει
ςκοπεῖν κελεύων ποῦ ςφέας μεταςτήςει.
ὁ δ' εἶπεν· 'οὔπω καιρός ἐςτι νῦν φεύγειν·
ὃς γὰρ φίλοις πέποιθεν, οὐκ ἄγαν ςπεύδει.'
ὡς δ' αὖτις ἦλθεν, ἡλίου δ' ὑπ' ἀκτίνων
ἤδη ῥέοντα τὸν ςτάχυν θεωρήςας
μιςθὸν μὲν ἀμητῆρςιν αὔριον δώςειν,
μιςθὸν δὲ πᾶςι δραγματηφόροις δώςειν
εἶπε, κορυδαλλός φηςι νηπίοις· 'ὥρη
νῦν ἐςτιν ὄντως, παῖδες, ἐκ τόπων φεύγειν,
ὅτ' αὐτὸς ἀμᾷ κοὐ φίλοιςι πιςτεύει.'

Ὁ μῦθος διδάςκει ἡμᾶς ἐπιμελεῖςθαι τῶν οἰκείων, ὅςη δύναμις, καὶ μὴ καταφρονεῖν ⟨ἐπὶ⟩ ταῖς τῶν φίλων ςυνδρομαῖς.

---

[6 — 7] **L**

**88 A V**217 = **F**379 = **C**421¹ 3—4 (λόφος), 18—19 (ἀμᾶν) **S C**421² — 1 κορυδαλλὸς rec. **A**] κορύδαλλος pr. **A** χαραδριὸς **V** νεοττεύων **V** 2 ὁ **L***] ὃς **A V** καὶ ex v. 3 Sauppe; om. **F** τῷ **F** Minas] τὸ **A** χαραδραίῳ **A** κορυδαλλῶ **V** κορυδαλῷ **F** [τὸν] Eberhard ἀντάδων **A** 3 καὶ **A V S** ὃς Sauppe ex v. 2 εἶχε om. **V** κόμαις **V** 6 ὡς ξηρὸν **A**] ἀνθηρὸν ὂν **V** ὡς ξανθὸν Eberhard 7 με **V** 8 κορυδαλλοῦ **L***] κορυδοῦ **V** κοροιδοῦ **A** 9 ἤκουςεν **V** 11 νῦν **A** τοῦ **V** 12 γὰρ **A**] τοῖς **V** 13—16 ὡς δ' 'αὖτις..... δώςειν' **L** 13 ὡς δ' **V**] ὡς **A** αὖθις ἐλθὼν ἡλίου θ' **V** 15 ἀμητῆρςιν Blomfield] ἀμυντῆρςιν **A** ἀμήτυρςιν **V** δώςειν **A**] πέμπειν **V** πέμψειν Corais 16 om. **A** δὲ πᾶςι **V**] δέ φηςί Lachmann δ' ἔφαςκε Eberhard δραγματηφόροις E. C. Schneider] δραγματοφόροις **V** 17 εἶπε, κορυδος **V** εἶπεν, κορυδαλός Fix κορυδαλλὸς εἶπε Eberhard φηςι Fix] πᾶςι **V** παῖςι **A** ὥρη Lachmann] ὄντως **A** οὕτως **V** 18 ὄντως **S**] ὥρη **A V** ἐκ τόπων **S**] ἀλλαχοῦ **A V** 19 ἀμᾷ **S**] αὐτῷ **A V** αὐτῷ Boiss. spem de propriis viribus ille petit Avian. 21, 14 φίλοιςιν πιςτεύειν **V** epim. ⟨ἐπὶ⟩ **G**] θαρροῦντας **F** om. **A V**

## 89

Λύκος ποτ' ἄρνα πεπλανημένον ποίμνης
ἰδὼν βίῃ μὲν οὐκ ἐπῆλθεν ἁρπάξων,
ἔγκλημα δ' ἔχθρας εὐπρόςωπον ἐζήτει.
'cú τοί με πέρυcι μικρὸc ὢν ἐβλαcφήμειc.'
,ἐγὼ οὐ περυcινόc, ⟨ὡc⟩ ἐπ' ἔτοc ἐγεννήθην.'
'οὐκοῦν cὺ τὴν ἄρουραν ἣν ἔχω κείρειc;'
,οὔπω τι χλωρὸν ἔφαγον οὐδ' ἐβοcκήθην.'
'οὐδ' ἆρα πηγὴν ἐκπέπωκαc ἣν πίνω;'
,θηλὴ μεθύcκει μέχρι νῦν με μητρῴη.'
τότε δὴ τὸν ἄρνα cυλλαβών τε καὶ τρώγων
'ἀλλ' οὐκ ἄδειπνον' εἶπε 'τὸν λύκον θήcειc,
κἂν εὐχερῶc μου πᾶcαν αἰτίην λύcῃc.'

Ὅτι τοὺc φύcει πονηροὺc καὶ ἀδίκουc οὐδ' εὔλογοc ἀπολογία πείθει.

## 90

Λέων ἐλύccα. τὸν δὲ νεβρὸc ἐξ ὕληc
ἰδὼν ἔφηcεν· 'ἡμέων ταλαιπώρων·
τί γὰρ μεμηνὼc οὗτοc οὐχὶ ποιήcει,
ὃc ἦν φορητὸc οὐδὲ cωφρονῶν ἡμῖν.'

Πρὸc ἄνδρα φύcει ὀργίλον καὶ αἱμοβόρον ἐξουcίαν ἀρχῆc κατὰ τῶν ὑπηκόων λαμβάνοντα.

## 91

Λέοντα φεύγων ταῦροc εἰc ἐρημαίην
cπήλυγγα κατέδυ ποιμένων ὀρειφοίτων,
ὅπου τράγοc τιc χωρὶc αἰπόλου μείναc
τὸν ταῦρον ἐμβάντ' αὖ κέραcιν ἐξώθει.
ὁ δ' εἶπεν· 'οὐ cέ, τὸν λέοντα δ' ἐκκλίνω.
ἀνέξομαί cου μικρὰ τῆc ἐπηρείηc·

---

**89** **A** **B** 83 **F** 101 = **C** p. 378 **C** 229 1–3 — 2 βίᾳ **A** 4 cύ τοί **G**] cὺ τί **A** cὺ δή Bergk 5 ἐγὼ οὐ **A**] ἐγώ cε Halm ἐγὼ οὐ cὲ Fix περυcινόc, ⟨ὡc⟩ **G**] περυcινὸc **A** περυcινόc, ὅc γ' G. Hermann πέρυcιν, ὅc γ' Halm Fix 6 ἔχω **A**] 'fort. ἐγὼ' Schneidewin 'ἀλλὰ' φηcὶ 'τὴν ἄρουράν μου ἐπιβόcκῃ' **B** 9 μητρῷα **A** 12 αἰτίαν **A** 'malim λύῃc' Fix

**90** **A** **V** (Knoell p. 675) **B** 74 **C** 348 (tetrast.) — 4 ἡμῖν **A**

**91** **A** **B** 72 = **C** 277 1 — 4 ἐμβάντ' αὖ **G**] ἐμβάντα τοῖc **A** ἐμβὰc τοῖc Bergk pro 3—4 **B** **C** 1 haec habent: τράγοc δὲ τοῦτον τοῖc κέραcιν ἐξώθει 5 ἐκκλίνω marg. **A**] φοβοῦμαι **B** **C**

ἐπεὶ παρελθέτω με, καὶ τότε γνώcῃ
πόcον τράγου μεταξὺ καὶ πόcον ταύρου.'

Πρὸc τοὺc τοῖc δυνατωτέροιc ἐπεμβαίνονταc δι' ἐπικειμένην αὐτοῖc cυμφοράν.

## 92

Λέοντά τιc κυνηγὸc οὐχὶ τολμήειc
ἴχνευεν ὀρέων ἐν βαθυcκίοιc ὕλαιc·
δρυτόμῳ δὲ μακρῆc ἐγγὺc ἐντυχὼν πεύκηc
'ὦ πρόc cε νυμφῶν' εἶπεν, 'ἆρα γινώcκειc
ἴχνη λέοντοc, ὅcτιc ὧδε φωλεύει;'
κἀκεῖνοc εἶπεν· 'ἀλλὰ cὺν θεῷ βαίνειc·
αὐτὸν γὰρ ἤδη τὸν λέοντά cοι δείξω.'
ὁ δ' ὠχριήcαc γομφίουc τε cυγκρούων
'μή μοι χαρίζου' φηcί 'πλεῖον οὗ χρῄζω,
τὸ δ' ἴχνοc εἰπέ· τὸν λέοντα μὴ δείξῃc.'

Ὁ μῦθοc ἐλέγχει [ἐκείνουc] τοὺc λύγοιc ἀνδρείουc ἐπιδεικνυμένουc, ἔργοιc δὲ ἀνικάνουc ἀποφαινομένουc.

## 93

Λύκων παρῆcαν ἄγγελοί ποτ' εἰc ποίμνην
ὅρκουc φέροντεc καὶ βέβαιον εἰρήνην,
ἐφ' ᾧ λάβωcι τοὺc κύναc πρὸc αἰκίην,
δι' οὓc μάχονται καὶ κοτοῦcιν ἀλλήλοιc.
μωρὴ δὲ ποίμνη καὶ τὰ πάντα βληχώδηc
πέμπειν ἔμελλεν. ἀλλά τιc γέρων ἤδη
κριὸc βαθείῃ φρικὶ μαλλὸν ὀρθώcαc
'καινῆc γε ταύτηc' εἶπε 'τῆc μεcιτείηc.
ἀφύλακτοc ὑμῖν πῶc ἐγὼ cυνοικήcω,

---

**92** **A** 8—9a (γομφίουc) **S** **B** 79 = **C** 175¹ — 2 βαθυcκίᾶιc (o supra scripsit m. ant.) **A** 4 ὦ **L**] ὧ **A** 8 ὠχριήcαc **S**] ὠχριάcαc **A** cυγκρούων **A**] cυγκρούcαc **S** epim. ἐκείνουc del. Minas

ὁ μῦθοc ἐλέγχει τοὺc λόγοιc μὲν ἀνδρείουc (Minas)
ἐπιδεικνυμένουc, ἔργοιcι δ' ἀνικάνουc ὄνταc. 'choliambicum reparavi qua valui' Boiss.

**93** **A** 5—6a (πάντα βληχώδηc) **S** **B** 80 = **C** 238 — 5 μωρὴ (μωρὰ **A**) δὲ ποίμνη **A**] τὰ μωρὰ δὲ πρόβατα **B** **C** μωρὸc δὲ ποιμὴν **S** πάντα βληχώδηc **S**] πάντ' ἀβληχρώδηc (apostrophum et spiritum adscripsit m. rec.) **A** 7 μαλλὸν Minas] μᾶλλον **A** 9 ἥμιν (ϋ suprascripsit pr.) **A**

δι᾽ οὓς νέμεσθαι μηδὲ νῦν ἀκινδύνως
ἔξεστι, καίτοι τῶν κυνῶν με τηρούντων;᾽

Οὐδαμῶς ἀκαταλλάκτοις ἐχθροῖς πιστεύειν δεῖ, ὅταν σε τῆς οἰκείας βούλωνται ἀμελεῖν σωτηρίας, κἂν ὅρκοις τυχὸν τὴν εἰρήνην λαλῶσι.

## 94

Λύκῳ ποτ᾽ ὀστοῦν φάρυγος ἐντὸς ἠρείσθη·
ἐρῳδιῷ δὲ μισθὸν ἄξιον δώσειν
ἔταξε, τὸν τράχηλον εἰ καθιμήσας
ἀνελκύσειε καὶ πόνων ἄκος δοίη.
ὁ δ᾽ ἑλκύσας τὸν μισθὸν εὐθέως ᾔτει.
κἀκεῖνος αὐτῷ κάρχαρόν τι μειδήσας
'σοὶ μισθὸς ἀρκεῖ' φησί 'τῶν ἰατρείων
κεφαλὴν λυκείου φάρυγος ἐξελεῖν σῴην.᾽
[κακοῖς βοηθῶν μισθὸν ἀγαθὸν οὐ λήψῃ,
ἀλλ᾽ ἀρκέσει σοι μή τι ⟨καὶ⟩ κακὸν πάσχειν.]

Ὅτι πονηρὸς ἀνὴρ εὖ πάσχων εἰς ἀντιδόσεως λόγον ποιεῖται καὶ τὸ μόνον μὴ βλάψαι.

## 95

Λέων νοσήσας ἐν φάραγγι πετραίῃ
ἔκειτο νωθρὰ γυῖα γῆς ἔφ᾽ ἁπλώσας,
φίλην δ᾽ ἀλώπεκ᾽ εἶχεν ᾗ προσωμίλει.
ταύτῃ ποτ᾽ εἶπεν· 'εἰ θέλεις με σὺ ζώειν·
πεινῶ γὰρ ἐλάφου τῆς ὑπ᾽ ἀγρίαις πεύκαις
κεῖνον τὸν ὑλήεντα δρυμὸν οἰκούσης
καὶ νῦν διώκειν ἔλαφον οὐκέτ᾽ ἰσχύω·
σὺ δ᾽ ἂν θελήσῃς, χεῖρας εἰς ἐμὰς ἥξει
λόγοισι θηρευθεῖσα σοῖς μελιγλώσσοις.᾽
ἀπῆλθε κερδώ, τὴν δ᾽ ὑπ᾽ ἀγρίαις ὕλαις

---

**94** **A** 6b—8 (καρχαρόδους) **S** **B** 84 **F** 94 = **C** p. 342[1] **C** 144[1–3] — 1 φάρυγγος **A** 3 καθειμήσας **A** 5 εὐθέως **A**] προσαιτουμένη μισθὸν τῆς ἰάσεως **C**[2] 6 καὶ κάρχαρόν τι μειδήσας **S** 7 τῆς ἰατρείας supra scripsit rec. **A** τῶν ἰατρειῶν **S** φησίν ἀντ᾽ ἰατρείων Fix 8 φάρυγος (φάρυγγος libri; em. Kuester) **S**] στόματος **A** **B** στόματος καὶ ὀδόντων **F** **C**[2] σῶαν **S** [9—10] **L** 10 ⟨καὶ⟩ κακὸν Eberhard] κακὸν **A** τῶν κακῶν rec. **A** πάθοις **A** epim. τὸ μόνον μὴ **G**] τὸ μὴ μόνον **A** μόνον τὸ μὴ Eberhard 'versus fuerint εἰς ἀντίδοσιν ἀνὴρ πονηρὸς εὖ πάσχων λόγον ποιεῖται καὶ μόνου τοῦ μὴ βλάψαι.

**95** **A** 87—88 (κωτίλλω et ἀχαιΐνη), 90—92a (πανθοίνην et δάπτων), 93—94 (νεβρείην καρδίαν et νεβρός) **S** **B** 75 = **C** 358[1] (= Tyrwhitt) = **F** 356 = **C** p. 408 — 2 ἔφ᾽ ἁπλώσας Hartung] ἐφαπλώσας **A** 4 ζώιειν **A** 8 εἰς χεῖρας **A**

σκιρτῶσαν εὗρε μαλθακῆς ὑπὲρ ποίης.
ἔκυσσε δ' αὐτὴν πρῶτον, εἶτα καὶ χαίρειν
προσεῖπε χρηστῶν τ' ἄγγελος λόγων ἥκειν.
'ὁ λέων' ἔφασκεν 'οἶδας, ἔστι μοι γείτων,
ἔχει δὲ φαύλως κἀγγύς ἐστι τοῦ θνήσκειν.
τίς οὖν μετ' αὐτὸν θηρίων τυραννήσει,
διεσκοπεῖτο. σῦς μέν ἐστιν ἀγνώμων,
ἄρκτος δὲ νωθής, πάρδαλις δὲ θυμώδης,
τίγρις δ' ἀλαζὼν καὶ τὸ πᾶν ἐρημαίη.
ἔλαφον τυραννεῖν ἀξιωτάτην κρίνει·
γαύρη μὲν εἶδος, πολλὰ δ' εἰς ἔτη ζῴει,
κέρας δὲ φοβερὸν πᾶσιν ἑρπετοῖς φύει,
δένδροις ὅμοιον, κοὐχ ὁποῖα τῶν ταύρων.
τί σοι λέγω τὰ πολλά; πλὴν ἐκυρώθης
μέλλεις τ' ἀνάσσειν θηρίων ὀρειφοίτων.
τότ' ἂν γένοιτο τῆς ἀλώπεκος μνήμη,
δέσποινα, τῆς σοι ⟨τοῦτο⟩ πρῶτον εἰπούσης.
ταῦτ' ἦλθον. ἀλλὰ χαῖρε, φιλτάτη. σπεύδω
πρὸς τὸν λέοντα, μὴ πάλιν με ζητήσῃ
(χρῆται γὰρ ἡμῖν εἰς ἅπαντα συμβούλοις)·
δοκῶ δὲ καὶ σέ, τέκνον, εἴ τι τῆς γραίης
κεφαλῆς ἀκούεις· ἔπρεπέ σοι παρεδρεύειν
ἐλθοῦσαν αὐτῷ καὶ πονοῦντα θαρσύνειν.
τὰ μικρὰ πείθει τοὺς ἐν ἐσχάταις ὥραις·
ψυχαὶ δ' ἐν ὀφθαλμοῖσι τῶν τελευτώντων.'
ὣς εἶπε κερδώ. τῆς δ' ὁ νοῦς ἐχαυνώθη
λόγοισι ποιητοῖσιν, ἦλθε δ' εἰς κοίλην
σπήλυγγα θηρὸς καὶ τὸ μέλλον οὐκ ᾔδει.
λέων δ' ἀπ' εὐνῆς ἀσκόπως ἐφορμήσας
ὄνυξιν οὔατ' ἐσπάραξεν ἀκραίοις
σπουδῇ διωγμοῦ· τὴν δὲ φύζα δειλαίην
θύρης κατιθὺς ἦγεν εἰς μέσας ὕλας.
κερδὼ δὲ χεῖρας ἐπεκρότησεν ἀλλήλαις,

---

12 ἔκυσσε Lachmann] ἔσκυσε **A** προσπαίσασα δὲ αὐτῇ **B** προσέκυσε Bergk 14 οἶδας rec. **A B**] οἶσθας ἔφασκε (with β and α written above) (α β supra scripsit et οἶσθας in οἶδας mutavit m. rec.) **A** μοι **A F**] σοι **B** 15 κἀγγύς **L** Duebner] κἐγγὺς **A** θνήισκειν **A** 16 μεθ' αὐτὸν **F** βασιλεύσει **B F** 18 ἄρκος **B** νωθρὸς **B** νωθρὰ **F** 21 ζώει **A** 26 ἂν **A**] αὖ Seidler οὖν **L*** 27 σοι ⟨τοῦτο⟩ Minas] σοι (omisso τοῦτο, quod in **A** add. m. rec. post hunc versum) **A B F** 29 πάλαι μ' ἐζήτησεν Lachmann 36 ὣς **L**] οὕτως **B F** ώς **A** ἐτυφώθη **B** ἐτυφλώθη **F** 39—83 interciderunt in Vaticano Furiae 41 διωγμοῦ **G**] διωχθείς **A** om. **B** 43 ἐκρότησεν **B** Bergk

ἐπεὶ πόνος μάταιος ἐξανηλώθη.
κἀκεῖνος ἐςτέναζε τὸ cτόμα βρύχων
(ὁμοῦ γὰρ αὐτὸν λιμὸς εἶχε καὶ λύπη),
πάλιν δὲ κερδοῦν ἱκέτευε φωνήςας
ἄλλον τιν᾽ εὑρεῖν δεύτερον δόλον θήρης.
ἡ δ᾽ εἶπε κινήςαςα βυςςόθεν γνώμην·
‘χαλεπὸν κελεύεις, αὖθις ἀλλ᾽ ὑπουργήςω.’
καὶ δὴ κατ᾽ ἴχνος ὡς ςοφὴ κύων ᾔει
πλέκουςα τέχνας καὶ πανουργίας πάςας,
ἀεὶ δ᾽ ἕκαςτον ποιμένων ἐπηρώτα
μή πού τις ἔλαφος ᾑματωμένη φεύγει.
τὴν δ᾽ ὥς τις εἶδε, δεικνύων ἂν ὡδήγει,
ἕως ποθ᾽ εὗρεν ἐν καταςκίῳ χώρῳ
δρόμων ἀναψύχουςαν. ἡ δ᾽ ἀναιδείης
ὀφρὺν ἔχουςα καὶ μέτωπον εἱςτήκει.
ἐλάφου δὲ φρὶξ ἐπέςχε νῶτα καὶ κνήμας,
χολὴ δ᾽ ἐπέζει καρδίην, ἔφη δ᾽ οὕτως·
[‘cὺ νῦν διώκεις πανταχοῦ με καὶ φεύγω.]
ἀλλ᾽ ὦ ςτύγημα, νῦν μὲν οὐχὶ χαιρήςεις,
ἄν μοι προςέλθῃς κἄγριόν τι τολμήςῃς.
ἄλλους ἀλωπέκιζε τοὺς ἀπειρήτους,
ἄλλους δὲ βαςιλεῖς αἱρέτιζε καὶ ποίει.’
τῆς δ᾽ οὐκ ἐτρέφθη θυμός, ἀλλ᾽ ὑποβλήδην
‘οὕτως ἀγεννής’ φηςί ‘καὶ φόβου πλήρης
πέφυκας; οὕτω τοὺς φίλους ὑποπτεύεις;
ὁ μὲν λέων ςοι ςυμφέροντα βουλεύων
μέλλων τ᾽ ἐγείρειν τῆς πάροιθε νωθείης
ἔψαυςεν ὠτός, ὡς πατὴρ ἀποθνήςκων·
ἔμελλε γάρ ςοι πᾶςαν ἐντολὴν δώςειν,
ἀρχὴν τοςαύτην πῶς λαβοῦςα τηρήςεις·
cὺ δ᾽ οὐχ ὑπέςτης κνίςμα χειρὸς ἀρρώςτου,

45 ἐςτέναξε **B** Bergk 47 κερδοῦν ἱκέτευε Meineke] κερδῶ καθικέτευε **A** 50 αὖθις (supra versum) ἀλλ᾽ **A**] ἀλλ᾽ ὅμως **B** 55 ἂν ὡδήγει Duebner] ἀνωδήγει **A** 57 ἤδ᾽ **V** 59 ἐπέςχε νῶτα Meineke] ἐπέςχεν ὦτα **A** φρίξαςα τὴν χαίτην **B** 60 χολῇ Duebner [61] Duebner; non exprimit **B** με καὶ **A**] μ᾽ ὅποι G. Hermann 63 κἄγριόν **G**] καὶ γρύξαι **A** τολμήςεις **A** η in marg. add. m. pr. 62—63 ὦ κάθαρμα, ἀλλ᾽ οὐκέτι χειρώςῃ με· εἰ δὲ καὶ πληςιάςεις μοι, οὐ ζήςεις ἔτι **B** 64 ἄλλους … τοὺς ἀπειρήτους Cobet Seidler] ἄλλοις … τοῖς ἀπειρήτοις **A** ἄλλους … τοὺς ἀπείρους **B** 65 αἱρέτιζε Cobet Seidler] ὑπερέθιζε **A** ἄλλους ποίει βαςιλεῖς καὶ ἐρέθιζε **B** 66 ἐτρέφθη Fix Bergk] ἐτέρφθη **A** ἐτράφθη Bekker 69 βουλεύων **A**] βουλεύςων Nauck ἤμελλε ςυμβουλεύειν **B** 70 om. **B** πάροιθεν **A** 74 οὐχ **A**] οὐδὲ **B**

βίῃ δ' ἀποσπασθεῖσα μᾶλλον ἐτρώθης.
καὶ νῦν ἐκεῖνος πλεῖον ἢ σὺ θυμοῦται,
λίην ἄπιστον πειράσας σε καὶ κούφην,
βασιλῆ δέ φησι τὸν λύκον καταστήσειν.
οἴμοι πονηροῦ δεσπότου. τί ποιήσω;
ἅπασιν ἡμῖν αἰτίη κακῶν γίνῃ.
ἀλλ' ἐλθὲ καὶ τὸ λοιπὸν ἴσθι γενναίη
μηδ' ἐπτόησο, πρόβατον οἷον ἐκ ποίμνης.
ὄμνυμι γάρ σοι φύλλα πάντα καὶ κρήνας,
οὕτω γένοιτό σοι μόνην με δουλεύειν,
ὡς οὐδὲν ἐχθρὸν ὁ λόγος, ἀλλ' ὑπ' εὐνοίης
τίθησι πάντων κυρίην σε τῶν ζῴων.'
τοιαῦτα κωτίλλουσα τὴν ἀχαιίνην
ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην.
ἐπεὶ δὲ λόχμης εἰς μυχὸν κατεκλείσθη,
λέων μὲν αὐτὸς εἶχε δαῖτα πανθοίνην,
ἔγκατα λαφύσσων, μυελὸν ὀστέων πίνων
καὶ σπλάγχνα δάπτων· ἡ δ' ἀγωγὸς εἱστήκει
πεινῶσα θήρης, καρδίην δὲ νεβρείην
λάπτει πεσοῦσαν ἁρπάσασα λαθραίως
καὶ τοῦτο κέρδος εἶχεν ὧν ἐκεκμήκει.
λέων δ' ἕκαστον ἐγκάτων ἀριθμήσας
μόνην ἀπ' ἄλλων καρδίην ἐπεζήτει
καὶ πᾶσαν εὐνήν, πάντα δ' οἶκον ἠρεύνα.
κερδὼ δ' ἀπαιολῶσα τῆς ἀληθείης
'οὐκ εἶχε πάντως' φησί· 'μὴ μάτην ζήτει.
ποίην δ' ἔμελλε καρδίην ἔχειν ἥτις
ἐκ δευτέρου λέοντος ἦλθεν εἰς οἴκους;'

Ὅτι τοὺς τοῖς προλαβοῦσι κακοῖς μὴ σωφρονισθέντας εἰκότως ἄφυκτα κακὰ διαδέχεται· ἐν ᾧ καὶ ἔλεγχος κατὰ φιλοδόξων.

---

75, 77, 80 neglexit **B** 76 πλεῖον **B**] πλέον **A** 77 λίην **A**] λίαν pr. **A** 78 βασιλῆ **L** Fix] βασιλέα **A** 79 οἴμοι πονηρὸν δεσπότην **B** 81 γενναία **A** 84 μόνην Boiss. (in adnot. crit.)] μόνῃ **A B F** μόνῃ Furia in interpret. Latina, Boiss. 85 ὁ λόγος **G**] ὁ λέων **A** οἶδεν Lachmann οὐδὲν ὁ λέων ἐχθρός Seidler μηδὲν κακὸν παθεῖν παρὰ τοῦ λέοντος **B** 86 non expressum in **B F** κυρίαν **A** 87 κωτίλλουσα **S**] κοτίλλουσα **A** 90 πανθοίνην **S**] παντοίην **A** ὁ μὲν λέων δεῖπνον εἶχε πάντα τὰ ὀστᾶ καὶ μυελοὺς καὶ ἔγκατα καταπίνων **B F** 91 ἔγκατα **S B F**] σάρκας **A** 92 δάπτων **S**] λάπτων **A** 93 θήρης **A**] κερδὼ **S** 97 ἀπ' ἄλλων **A**] ἁπάντων Eberhard 98 δ' **A**] τ' Duebner 99—100 ἀλώπηξ δὲ μήκοθεν σταθεῖσα (στᾶσα **F**) ἔφη· 'αὕτη (αὐτὴ **B**) ἀληθῶς καρδίαν οὐκ εἶχεν· μὴ ἔτι ζήτει' **B F** epim. ὅτι ὁ τῆς φιλοδοξίας ἔρως τὸν ἀνθρώπων νοῦν ἐπιθολοῖ καὶ τὰς τῶν κινδύνων συμφορὰς οὐ κατανοεῖ **B** (promyth.) **F**

## 96

Λύκος παρῄει θριγκόν, ἔνθεν ἐκκύψας
ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφήμως.
κἀκεῖνος εἶπε τὰς σιαγόνας πρίων·
'ὁ τόπος μ' ἐλοιδόρησε· μὴ σὺ καυχήσῃ.'
[ὁ μῦθος ὀρθῶς πᾶσι τοῦτο μηνύει,
μηδεὶς διὰ καιρὸν ἰσχύων τι γαυρούσθω.]

Κατάλληλος ὁ μῦθος τοῖς διὰ περίστασιν καὶ τόπον κατὰ τύχην τῶν δυνατωτέρων κατεπαιρομένοις.

## 97

Λέων ποτ' ἐπεβούλευεν ἀγρίῳ ταύρῳ.
καὶ προσποιηθεὶς μητρὶ τῇ θεῶν θύειν
τὸν ταῦρον ἐλθεῖν ἐπὶ τὸ δεῖπνον ἠρώτα.
κἀκεῖνος ἥξειν εἶπεν οὐχ ὑποπτεύσας.
ἐλθὼν δὲ καὶ στὰς ἐπὶ θύρας λεοντείους
ὡς εἶδε θερμοῦ πολλὰ χαλκία πλήρη,
σφαγίδας, μαχαίρας βουδόρους νεοσμήκτους,
πρὸς τῇ θύρῃ δὲ μηδέν, ἀλλὰ δεσμώτην
ἀλεκτορίσκον, ᾤχετ' εἰς ὄρος φεύγων.
ἐμέμφεθ' ὁ λέων ὕστερον συναντήσας.
ὁ δ' 'ἦλθον' εἶπε 'καὶ τὸ σύμβολον δώσω·
οὐκ ἦν ὅμοιον θῦμα τῷ μαγειρείῳ;'

Ὁ μῦθος ἡμᾶς ὑπομιμνήσκει, τὸ ἐπιὸν πάντως δεινὸν προορῶντας, μηδαμῶς ἀμελεῖν τῆς ἑαυτῶν σωτηρίας.

## 98

Λέων ἁλοὺς ἔρωτι παιδὸς ὡραίης
παρὰ πατρὸς ἐμνήστευε. τῷ δ' ὁ πρεσβύτης
οὐδέν τι δύσνουν οὐδ' ὕπουλον ἐμφήνας

---

**96** **A** 1—3 (τριγχός), 3 (πρίων) **S** **B** 81 = **C** 139$^{4}$ **F** 75 = **C** p. 337 **C** 139$^{1-3}$ — 1 τριγχόν **S** ἐγκύψας **A** παρακύψας **B** προκύπτων **C**$^{3}$ 2 cf. **C**$^{2}$ .... ἔσκωπτε καὶ θηρίον λακὸν ἀπεκάλει καὶ ὠμοβόρον et **C**$^{3}$ ... ἀρνὸς ἔσκωπτεν λύκον Ὡς ἐχθρόν, ὡς κάκιστον, ὡς μεστὸν φόνου. at nihil supplendum post v. 2, id quod voluit Lachmannus [5—6] **L** Duebner epim. τρόπον **A**

**97** **A** **F** 92 = **C** p. 377 **C** 227$^{1}$ = Aug. 141 **C** 227$^{2}$ — 2 τῇ Lachmann] τῶν **A** 6 χάλκια **L** Duebner] χαλκεῖα **A** 8 θύρᾳ **A** ἀλλὰ Schneidewin] ἀλλ' ἢ **A** 12 οὐκ **A**] πάντ' Hartung ὅμοιον **A**] ἕτοιμον H. Hermann ὁρῶ γὰρ κατασκευὴν οὐχ ὡς εἰς πρόβατον, ἀλλ' ὡς εἰς ταῦρον ἠτοιμασμένην **F** **C**$^{1-2}$ τὸ θῦμα **A** μαγειρείῳ; **G**] μαγειρείω. **A**

**98** **A** **B** 76 **F** 110 = **C** p. 375 **C** 221$^{1}$ = Aug. 138 **C** 221$^{2-5}$ — 1 ὡραίας **A**

'δίδωμι γῆμαι' φηcί 'καὶ διδοὺc χαίρω·
τίc οὐ δυνάcτῃ καὶ λέοντι κηδεύcει;
φρένεc δὲ δειλαὶ παρθένων τε καὶ παίδων·
cὺ δ' ἡλίκουc μὲν ὄνυχαc, ἡλίκουc δ' ἥμιν
φέρειc ὀδόνταc, τίc κόρη cε τολμήcει
ἀφόβωc περιλαβεῖν; τίc δ' ἰδοῦcα μὴ κλαύcῃ;
πρὸc ταῦτα δὴ cκόπηcον εἰ γάμου χρῄζειc,
μηδ' ἄγριοc θὴρ ἀλλὰ νυμφίοc γίνου.'
ὁ δὲ πτερωθεὶc τῇ δόcει τε πιcτεύcαc
ἐξεῖλε τοὺc ὀδόνταc, εἶθ' ὑπὸ cμίληc
ἀπωνυχίcθη τῷ τε πενθερῷ δείξαc
τὴν παῖδ' ἀπῄτει. τὸν δ' ἕκαcτοc ἠλοία
ῥοπάλῳ τιc ἢ λίθῳ τιc εὐχερῶc παίων.
ἔκειτο δ' ἀργὸc ὥcπερ ὗc ἀποθνήcκων
[γέροντοc ἀνδρὸc ποικίλου τε τὴν γνώμην
cοφίῃ διδαχθεὶc ὡc ἄμικτον ἀνθρώποιc
ἐρᾶν λεόντων ἢ λέονταc ἀνθρώπων.
  αὐτόc τιc αὑτὸν λανθάνει κακῶc δράcαc,
ὧν οὐ πέφυκε μεταλαβεῖν ὅταν cπεύδῃ.]

## 99 (100)

Λέοντι προcπτὰc αἰετῶν τιc ἐζήτει
κοινωνὸc εἶναι χὠ λέων 'τί κωλύει;'
πρὸc αὐτὸν εἶπεν· 'ἀλλ' ἐνέχυρον ⟨οὐ⟩ δώcειc
τὠκύπτερόν cου μὴ μεθιέναι πίcτιν;
πῶc γὰρ φίλῳ cοι μὴ μένοντι πιcτεύcω;'

῾Ο μῦθοc ἐκδιδάcκει μὴ τάχιcτα πᾶcι πιcτεύειν καὶ μάλιcτα τοῖc μήπω φίλοιc.

---

7 ἡμῖν **A** 9 περιλαβεῖν **A B**] περιβαλεῖν Minas. κλαύcει (κλαύcῃ pr.) **A** post 10 lacunam unius v. statuit Bergkius 16 λίθῳ τιc **A**] λίθοιcιν Piccolos εὐχερῶc **G**] ἐκ χειρὸc **A** ἐκ χερὸc **L** τὸν πατέρα (φαcὶν) ... τύπτοντα ῥαδίωc ἀποκτεῖναι **C**[4] [18—20] Eberhard; om. **B F C** 18 τε Bergk 19 ἄμικτον **A**] ἀθέμιτον Seidler ἄνικτον ἀνθρώπουc Boiss. (in adn. crit.) 20 λέοντα **A** forsan, ἀνθρώποιc ... λέουcιν Boiss. [21—22] **L**

99 **A V** 90 (Knoell p. 675) = **F** 358 = **C** 408 epim. Georgid. Gnom. I p. 58 — 1 αἰετῶν **A**] ἀετῶν **V** ἀετὸc **F** τιc om. **V** 2 χω **V** 3 ἀλλ' **A V**] ἀλλά γ' Eberhard ἐνέχυρον ⟨οὐ⟩ **G**] ἐνέχυρον ἢ G. Hermann ἐνέχυρον ἐνθώcειc Fix 4 τὠκυπτερόν cου **L***] τὰ ὠκυπτερά cου **A** τὠκυπτέρῳ cου **V** ταχύπτερόν cε **F** μεθιέναι Eberhard] μεθεῖναι τὴν **A V** μεθῇc cὺ G. Hermann

## 100 (99)

Λύκῳ συνήντα πιμελὴς κύων λίην.
ὁ δ' αὐτὸν ἐξήταζε ποῦ τραφεὶς οὕτως
μέγας κύων ἐγένετο καὶ λίπους πλήρης.
'ἄνθρωπος' εἶπε 'δαψιλής με σιτεύει.'
,ὁ δέ σοι τράχηλος, εἰπέ, πῶς ἐλευκώθη;'
'κλοιῷ τέτριπται σάρκα τῷ σιδηρείῳ,
ὃν ὁ τροφεύς μοι περιτέθεικε χαλκεύσας.'
λύκος δ' ἐπ' αὐτῷ καγχάσας ,ἐγὼ τοίνυν
χαίρειν κελεύω' φησί ,τῇ τρυφῇ ταύτῃ,
δι' ἣν σίδηρος τὸν ἐμὸν αὐχένα τρίψει.'

Ὅ τι αἰσχρὸν καὶ ἐπονείδιστον, τὸ μικρᾶς ἡδονῆς χάριν δουλοπρεπῶς ζῴειν, φευκτέον ὁ μῦθος παραινεῖ.

## 101

Λύκος τις ἁδρὸς ἐν λύκοις ἐγεννήθη,
λέοντα δ' αὐτὸν ἐπεκάλουν· ὁ δ' ἀγνώμων
τὴν δόξαν οὐκ ἤνεγκε, τῶν δὲ συμφύλων
ἀποστατήσας τοῖς λέουσιν ὡμίλει.
κερδὼ δ' ἐπισκώπτουσα 'μήκφρενωθείην'
ἔφη 'τοσοῦτον ὡς σὺ νῦν ἐτυφώθης·
σὺ γὰρ ὡς ἀληθῶς ἐν λύκοις λέων φαίνῃ,
ἐν δ' αὖ λεόντων συγκρίσει λύκος γίνῃ.'

Πρὸς τοὺς ἀπὸ τῶν κολάκων οὐκ ὀρθῇ κρίσει ἐπαινουμένους κἀντεῦθεν μέγα φρονοῦντας, ἔπειτα δὲ ἐλεγχομένους, ἑαυτοὺς ἐπιγινώσκειν.

## 102

Λέων τις ἐβασίλευεν οὐχὶ θυμώδης
οὐδ' ὠμὸς οὐδὲ πάντα τῇ βίῃ χαίρων
πρᾷος δὲ καὶ δίκαιος ὥς τις ἀνθρώπων.

---

**100** **A** **F** 361 = **C** 411 — 1 πημελὴς **A** λίαν **A** 2 ποῦ τραφεὶς Minas] πoὐτράφης **A** 5 εἰπέ, πῶς Halm] πῶς εἶπεν **A** εἶπε, πῶς Boiss. 6 σιδηρίωι **A** epim. ὅ τι **G**] ὅτι **A** τὸ Bergk] τὸν **A** ζώην **A** ζῆν Bergk aut initium (ὅτι αἰσχρὸν καὶ ἐπονείδιστον) aut finem (φευκτέον ὁ μῦθος παραινεῖ) delendum censebat Bergkius.

**101** **A** **V** 97 (Knoell p. 675) = **F** 360 = **C** 410 — 2 ἐκάλει **V** 3 ἤνεγκεν **V** συμφίλων **V** 5 μήκφρενωθείην anonymi apud Boiss.] μὴ φρενωθείην **F** (**V**?) μὴ φρενωθείῃ **A** 6 τυφωθεῖσα Lachmann 7 ὡς om. **V** φαίνῃ **A V**] γίνῃ Nauck 8 εἰς... σύγκρισιν **V** γίνῃ **A**] φαίνῃ **V** Nauck epim. ἀπὸ **A**] ὑπὸ Baiter κἀντεῦθεν **A**] om. **V** καὶ **F** ἔπειτα **A**] om. **V F** ἐλεγχομένους δὲ **F**

**102** **A** **B** 78 = **C** 363 — 3 πρᾷος Boiss.] πρὸς **A** δὲ Duebner **L**] δ' ἄρα **A**

ἐπὶ τῆς ἐκείνου φαcὶ δὴ δυναcτείης
τῶν ἀγρίων ἀγυρμὸc ἐγεγόνει ζῴων
δίκας τε δοῦναι καὶ λαβεῖν παρ' ἀλλήλων.
τὰ ζῷα πανταχῶc δ' ὑπέcχον εὐθύνας,
λύκος μὲν ἀρνί, πάρδαλιc δέ γ' αἰγάγρῳ,
ἐλάφῳ δὲ τίγρις, πάντα δ' εἶχεν εἰρήνην.
ὁ πτὼξ δ' ἔφη λαγωός· 'ἀλλ' ἐγὼ ταύτην
τὴν ἡμέρην ἀεί ποτ' ηὐχόμην ἥτις
καὶ τοῖc βιαίοιc φοβερὰ τἀcθενῆ θήcει.'
Ἔπαινον ὁ μῦθος ἔχει κριτῇ πρᾴῳ καὶ λίαν δικαίῳ.

## 103

Λέων ἐπ' ἄγρην οὐκέτι cθένων βαίνειν
(πολλῷ γὰρ ἤδη τῷ χρόνῳ γεγηράκει)
κοίλης ἔcω cπήλυγγος οἷα τις νούcῳ
καμὼν ἐκέκλιτ' οὐκ ἀληθὲc ἀcθμαίνων,
φωνὴν βαρεῖαν προcποιητὰ λεπτύνων.
θηρῶν δ' ἐπ' αὐλὰc ἦλθεν ἄγγελος φήμη
καὶ πάντες ἤλγουν ὡc λέοντος ἀρρώcτου,
ἐπιcκοπήcων δ' εἷc ἕκαcτος εἰcῄει.
τούτους ἐφεξῆc λαμβάνων ἀμοχθήτωc
κατήcθιεν, γῆρας δὲ λιπαρὸν ηὑρήκει.
cοφὴ δ' ἀλώπηξ ὑπενόηcε καὶ πόρρω
cταθεῖcα 'βαcιλεῦ, πῶc ἔχειc;' ἐπηρώτα.
κἀκεῖνος εἶπε· 'χαῖρε, φιλτάτη ζῴων.
τί δ' οὐ προcέρχῃ, μακρόθεν δέ με cκέπτῃ;

---

ἀλλὰ πρᾶοc καὶ **B** ὥcπερ ἄνθρωπος **B** 4 δυναcτείας **A** 5 ζώων **A** 6 πρὸc ἄλληλα **B** 7 πανταχῶc δ' **G**] πάντα ὡc δ' **A** πάντα δ' ὡc **L*** ὑπέcχεν Eberhard 8 δέ γ' Lachmann] δ' ἐπ' **A** δὲ **B** 9 δὲ Boiss. ex **C** = **B**] om. **A** πάντα δ' εἶχεν εἰρήνην **A**] κύων δὲ λαγωῷ **B** ἦγεν Meineke 10 δ' ἔφη λαγωός **G**] λαγωὸc εἶπεν **A** τότ' εἶπεν Bergk ἐγὼ **A**] ἔγωγ' ἰδεῖν Bergk 11 ἡμέραν **A** ἀεί **A**] ἰδεῖν Eberhard ex **C** = **B**, ubi vv. 10—11 his redduntur verbis: ὁ πτὼξ δὲ ἔφη· ηὐχόμην ἰδεῖν τὴν ἡμέραν ταύτην 12 τἀcθενῆ Boiss. duce **C** = **B** qui habet τὰ εὐτελῆ] τὰ cθένη **A**

**103** **A** 3—4 (cπήλυγξ), 3b—4 (ἆcθμα) **S** **B** 73 **F** 91 = **C** p. 336 = Aug. 140 **C** 137 1—3 — 3 κοίλης ἔcω **A**] κοιώcω aut κοιάcω **S** οἷά τις νούcῳ **S**] ὡc νόcῳ κάμνων **A** 4 καμὼν (κάμνων nonnulli libri) ἐκέκλιτ' (ἐβέβλητ' **S**) **S** Meineke] ἔκειτο δολίωc (δόλιον Haupt) **A** καὶ δὴ παραγενόμενος εἴc τι cπήλαιον καὶ ἐνταῦθα κατακλιθεὶc (ἐν cπηλαίῳ τινὶ κατακλινθεὶc **C**1) προcεποιεῖτο νοcεῖν χαλεπῶc (τὸν νοcοῦντα Aug. χαλεπῶc om. **C**1) **F** **C**1 Aug. νοcεῖν οὖν προcποιούμενος κατέκλινεν ἑαυτὸν ἔν τινι cπηλαίῳ **C**3 ἔκειτο δὲ ἐν τῷ cπηλαίῳ προcποιούμενος νοcεῖν **B** ἀληθῶc **A** 6 ἐπ' αὐλὰc Duebner **L**] ἐπαύλας **A** ἀγγέλου **A** 10 κατήcθιε **A**

δεῦρο, γλυκεῖα, καί με ποικίλοις μύθοις
παρηγόρησον ἐγγὺς ὄντα τῆς μοίρης.'
'σῴζοιο' φησίν· 'εἰ δ' ἄπειμι, συγγνώσῃ·
πολλῶν γὰρ ἴχνη θηρίων με κωλύει,
ὧν ἐξιόντων οὐκ ἔχεις ὅ μοι δείξεις.'
[μακάριος ὅστις οὐ προλαμβάνει πταίσας,
ἀλλ' αὐτὸς ἄλλων συμφοραῖς ἐπαιδεύθη.]

Οὕτω τινῶν οἱ κίνδυνοι διδαχὴ εἶναι ὀφείλει τῆς ἡμῶν σωτηρίας.

## 104

Λάθρῃ κύων ἔδακνε· τῷ δὲ χαλκεύσας
ὁ δεσπότης κώδωνα καὶ προσαρτήσας
πρόδηλον εἶναι μακρόθεν πεποιήκει.
ὁ κύων δὲ τὸν κώδωνα δι' ἀγορῆς σείων
ἠλαζονεύετ'. ἀλλὰ δὴ κύων γραίη
πρὸς αὐτὸν εἶπεν· 'ὦ τάλαν, τί σεμνύνῃ;
οὐ κόσμον ἀρετῆς τοῦτον οὐδὲ παιδείης,
σαυτοῦ δ' ἔλεγχον τῆς πονηρίης κρούεις.'

Ἔλεγχον ὁ μῦθος ἔχει τῶν οὐ καλῶς μέγα ἐφ' ἑαυτοῖς φρονούντων, ὅταν διὰ κακίαν τι πάθοιεν.

## 105

Λύκος ποτ' ἄρας πρόβατον ἐκ μέσης ποίμνης
ἐκόμιζεν οἴκαδ'· ᾧ λέων συναντήσας
ἀπέσπας' αὐτοῦ. καὶ λύκος σταθεὶς πόρρω
'ἀδίκως ἀφείλω τῶν ἐμῶν' ἐκεκράγει.
λέων δὲ τρεφθεὶς εἶπε τὸν λύκον σκώπτων
'σοὶ γὰρ δικαίως ὑπὸ φίλων ἐδωρήθη.'

Ὁ μῦθος δικαίοις προσφόρως ῥηθήσεται πρὸς ἄνδρας ἀδίκους ἀλλήλους αἰτιωμένους, ἐπὶ τῷ αὐτῷ πταίσματι κειμένους.

---

17 σῴζοιο Duebner] ζώοιο **A** ὑγίαινε **B** σώοιο Lachmann  ἦν **A** [20 – 21] **L**

**104** **A** **B** 71 = **C** 210 — 1 λάθρῃ **L**] λάθρα **A** λάθρᾳ **B**  4 ἀγορᾶς **A** 7 οὐδὲ παιδείης **G**] οὐδ' ἐπιεικίης **A** οὐδ' ἐπεικείης Boiss. ἠπιεικείης Duebner **L***

**105** **A** **B** 85 = **C** 234[1] **F** 362 = **C** p. 379 **C** 234[2] — 2 οἴκαδε **A**  3 αὐτὸ Eberhardus duce **C**[1] (= **B**), ubi legitur: ἀφεῖλε (ἀφείλετο **B**) τὸ πρόβατον. sed cf. ἀπὸ τοῦ λύκου τὸν χοῖρον ἀφήρπασεν **C**[2] ἦρεν ἐξ αὐτοῦ τὸ ἀρνίον **F** 4 ἀφείλω **A**] ἀφείλου **B** **L**  τῶν ἐμῶν **A**] τὸ ἐμόν **B**  τρεφθεὶς Hartung] τερφθεὶς **A**  epim. δικαίοις **G**] δικαίως **A** δικαίως καὶ Boiss. [δικαίως] Eberhard

## 106

Λέων ποτ᾽ ἀνδρῶν βίον ἄριστον ἐζήλου.
καὶ δὴ κατ᾽ εὐρὺν φωλεὸν διατρίβων,
ὅσων ἀρίστην ἀριφρόνων φυὴν ἔγνω,
φιλοφρονεῖσθαι γνησίως ἐπειρᾶτο.
πολὺς δ᾽ ὑπὸ σπήλυγγι θαμινὰ παντοίων
θηρῶν ὅμιλος ἡμέρως συνηυλίσθη·
ὁ δ᾽ εἱστία τε κἀφίλει νόμῳ ξείνων
ἀλίην, τιθεὶς ἅπασι δαῖτα θυμήρη.
φίλην δὲ κερδὼ καὶ σύνοικον εἰλήφει,
μεθ᾽ ἧς τὰ πολλὰ μειλίχως συνεζήτει.
γέρων δέ τις πίθηκος ἦν ὁ δαιτρεύων
κρεῶν τε συσσίτοισι διανέμων μοίρας,
ὅς, εἴ τις ἦλθεν οὐχὶ τῆς συνηθείης,
ταὐτὸν παρετίθει δεσπότῃ τε κἀκείνῳ,
ὅπερ εἶχεν ὁ λέων νεοδρόμῳ λαβὼν θήρῃ·
κερδὼ δ᾽ ἑώλων ἔφερεν οὐκ ἴσην μοῖραν.
καὶ δή ποτ᾽ αὐτὴν προσποιητὰ σιγῶσαν
λέων τίν᾽ εἶχεν αἰτίην διηρώτα
δείπνου τε χεῖρα καὶ βορῆς ἀποσχοῦσα·
'κερδοῖ σοφή, λάλησον ὥσπερ εἰώθεις·
φαιδρῷ προσώπῳ δαιτός, ὦ φίλη, ψαῦσον.'
ἡ δ᾽ εἶπεν· 'ὦ φέριστε θηρίων γέννης,
πολλῇ μερίμνῃ καρδίην διαξαίνω·
οὐ γὰρ τὰ νῦν παρόντα μοῦνον ἀλγύνει,
τὰ δ᾽ ἔπειτα᾽ φησί 'προσκοπουμένη κλαίω.
καθ᾽ ἡμέρην γὰρ εἴ τις ἄλλος, εἶτ᾽ ἄλλος
ξένος πελάζοι, τοῦτο δ᾽ εἰς ἔθος βαίνοι,
τάχ᾽ οὐδ᾽ ἑώλων γεύσομαι κρεῶν μούνη.'
ὁ λέων δὲ τερφθεὶς ὡς λέων τε μειδήσας
εἶπεν· 'πιθήκῳ ταῦτα μηδ᾽ ἐμοὶ μέμφου.'

Ὅτι μᾶλλον ἀλγύνειν καὶ λυπεῖν οἶδεν ἀνθρώπους οὐ τὰ παρόντα μόνον, καθ᾽ ὅσον ἤδη ἡ τῶν μελλόντων προσδοκία.

---

**106 A** — 3 ἀριφρόνων **G**] ὀριτρόφων **A** φύσιν ὀρειτρόφων Bergk 4 ἐπειράθη Lewis 6 θηρίων **A** 7 καὶ ἐφίλει (ἀ supra ἐ scr. m. rec. atramento nigro) **A** 7—8 ξείνων ἀλίην, (distinxit **G**) **A**] ξείνων, ἅδην Boiss. ξείνων, λίην G. Hermann 10 συνεζήκει Fix 12 τε Duebner **L**] δὲ **A** 15 εἶλεν **L** 16 κερδοῖ Bergk μοίραν **A** μοῖραν ἔφερεν (ἔφερε μοῖραν Eberhard) οὐκ ἴσην G. Hermann Eberhard 19 χεῖραν **A** ἀποσχοῦσα G. Hermann] ἀποσχοῦσαν **A** v. 19 ante v. 18 conlocabat Bergkius 20 εἰώθης pr. **A** corr. m. ant. 26 ἡμέραν **A** 27 βαίνοι Duebner **L***] βαῖνον **A** 30 μὴ δ᾽ **A**

## 107

Λέων ἀγρεύcας μῦν ἔμελλε δειπνήcειν·
ὁ δ' οἰκότριψ κλὼψ ἐγγὺc ὢν μόρου τλήμων
τοιοῖcδε μύθοιc ἱκέτευε τὸν θῆρα·
'ἐλάφουc πρέπει coι καὶ κεραcφόρουc ταύρουc
θηρῶντα νηδὺν cαρκὶ τῇδε πιαίνειν,
μυὸc δὲ δεῖπνον οὐδ' ἁβρῶc ἐπιψαῦcαι
χειλῶν ἀμέτρων. ἀλλὰ λίccομαι, φείδου.
ἴcωc χάριν coι τῆcδε μικρὸc ὢν τίcω.'
γελάcαc δ' ὁ θὴρ παρῆκε τὸν ἱκέτην ζῶντα
καὶ φηλαγρευταῖc ἐμπεcὼν νεηνίcκοιc
ἐδικτυώθη κεἰc cφαγὰc ἐδεcμεύθη.
[κἀντεῦθεν ἀπεγνώκει ὁ θὴρ τὴν cωτηρίαν.]
ὁ μῦc δὲ λάθρῃ χηραμοῦ προπηδήcαc
cτερρόν τ' ὀδοῦcι βραχυτάτοιc βρόχον κείραc
ἔλυcε τὸν λέοντα, τοῦ τὸ φῶc βλέψαι
ἐπάξιον δοὺc μιcθὸν ἀντιζωγρήcαc.
[caφὴc ὁ μῦθοc εὐνοοῦcιν ἀνθρώποιc,
cῴζειν πένηταc μηδαμῶc ἀπελπίζειν,
εἰ καὶ λέοντα μῦc ἔcωc' ἀγρευθέντα.]

Μῦθοc μέν, ὦ παῖ βαcιλέωc 'Αλεξάνδρου,
Σύρων παλαιόν ἐcτιν εὕρεμ' ἀνθρώπων,
οἳ πρίν ποτ' ἦcαν ἐπὶ Νίνου τε καὶ Βήλου·
πρῶτοc δέ, φαcίν, εἶπε παιcὶν 'Ελλήνων
Αἴcωποc ὁ cοφόc, εἶπε καὶ Λιβυcτίνοιc
λόγουc Κιβύccηc. ἀλλ' ἐγὼ νέῃ μούcῃ
δίδωμι φαλάρῳ χρυcέῳ χαλινώcαc

---

**107** **A** **B** 77 **F** 98 = **C** p. 373 **C** 217 = Aug. 148 — 2 οἰκότριψ Fix] οἰκοτρὶψ **A** 5 θηρῶντα Fix **L***] θηρῶν δὲ **A** θηρῶντι Duebner 6 ἁβρῶc **G**] ἄκρον **A** ἄκρων Boiss. 7 ἀμέτρων **G**] ἀμέccων **A** ἄμεινον Lachmann θέμιc cῶν Schneidewin ἄφεc μ' οὖν Seidler 8 τήνδε Eberhard τῶνδε Fix Meineke 9 ζῴειν Fix 20 καὶ φηλαγρευταῖc Lachmann] καὶ φιλαγρευταῖc **A** καὶ φιλαγρέταιcιν Eberhard φιλαγρέταιcι δ' Fix κἄπειτ' ἀγρευταῖc Schneidewin 11 κεἰc cφαγὰc **G**] καὶ cφαλεὶc **A** κἀcφαλῶc Meineke καὶ κάλῳc Eberhard καὶ δεθεὶc ἀπέγνω τῆc ἑαυτοῦ cωτηρίαc **B** κάλῳ (καμήλῳ **C**) ἐδέθη (ἐπεδέθη **F**) ἐπί (ἔν **F**) τινι δένδρῳ **C** **F** Aug. [12] Fix **L** 15 τοῦ τὸ **L***] τοῦτο **A** 17 εὖ νοοῦcιν Bergk 18 μηδαμῶc **G**] μηδὲ τῶν **A** μηδέ των Bergk μηδέ πωc Fix

prooemium alterum ἀρχ(ὴ) τοῦ μ ΤΜΗΜΑΤΟΣ pr. **A** — 2 παλαιὸν Fix **L**] παλαιῶν **A** 4 φαcίν Fix] πᾶcιν **A** 5 Λιβυcτίνοιc Schneidewin] λίβυc τινὸc **A** Λιβυcτῖνοc Duebner 6 λόγουc Meineke] λόγου **A** Κιβύccηc Bergk] λιβύccηc **A** 7 φαλάρῳ Duebner καθαρῷ **A**

τὸν μυθίαμβον ὥςπερ ἵππον ὁπλίτην.
ὑπ' ἐμοῦ δὲ πρώτου τῆς θύρης ἀνοιχθείσης
εἰςῆλθον ἄλλοι καὶ σοφωτέρης μούσης
γρίφοις ὁμοίας ἐκφέρουσι ποιήσεις,
μαθόντες οὐδὲν πλεῖον ἢ γεγωνίσκειν.
ἐγὼ δὲ λευκῇ μυθιάζομαι ῥήσει
καὶ τῶν ἰάμβων τοὺς ὀδόντας οὐ θήγω,
ἀλλ' εὖ πυρώσας, εὖ δὲ κέντρα πρηΰνας
ἐκ δευτέρου σοι τήνδε βίβλον ἀείδω.

## 108

Μυῶν ὁ μέν τις βίον ἔχων ἀρουραῖον,
ὁ δ' ἐν ταμείοις πλουσίοισι φωλεύων,
ἔθεντο κοινὸν τὸν βίον πρὸς ἀλλήλους.
ὁ δ' οἰκόσιτος πρότερος ἦλθε δειπνήσων
ἐπὶ τῆς ἀρούρης ἄρτι χλωρὸν ἀνθούσης·
τρώγων δ' ἀραιὰς καὶ διαβρόχους σίτου
ῥίζας μελαίνῃ συμπεφυρμένας βώλῳ
'μύρμηκος' εἶπε 'ζῇς βίον ταλαιπώρου,
ἐν πυθμέσιν γῆς κρῖμνα λεπτὰ βιβρώσκων.
ἐμοὶ δ' ὑπάρχει πολλὰ καὶ περισσεύει·
τὸ κέρας κατοικῶ πρὸς σὲ τῆς Ἀμαλθείης.
εἴ μοι συνέλθοις, ὡς θέλεις ἀσωτεύσῃ,
παρεὶς ὀρύσσειν ἀσφάλαξι τὴν χώρην.'
ἀπῆγε τὸν μῦν τὸν γεηπόνον πείσας
εἰς οἶκον ἐλθεῖν ὑπό τε τοῖχον ἀνθρώπου.
ἔδειξε δ' αὐτῷ ποῦ μὲν ἀλφίτων πλήθη,
ποῦ δ' ὀσπρίων ἦν σωρὸς ἢ πίθοι σύκων
στάμνοι τε μέλιτος σώρακοί τε φοινίκων.
ὁ δ' ὡς ἐτέρφθη πᾶσι καὶ παρωρμήθη
καὶ τυρὸν ἦγεν ἐκ κανισκίου σύρων,
ἀνέῳξε τὴν θύρην τις· ὁ δ' ἀποπηδήσας

9 θύρας **A** 10 σοφωτέρας **A** ψοφωτέρας Schneidewin 12 ἢ γεγωνίσκειν Nauck] ἤ με γινώσκειν **A** 13 λουκὴ **A** 14 οὐ Duebner] σου **A**

**108** **A** 17—18 (σωράκους), 24—25 (Καμειραία ἰσχάς), 31—32 (κρῖμνον) **S** (cf. fabularum dactylicarum fragmenta ex **S** petita 14—16) **B** 94 = **C** 301² **F** 121 = **C** p. 402 **C** 301 — 6 σίτου Minas] σίτου **A** 7 βόλωι pr. **A** 9 πυθμέσιν rec. **A**] πυθμέσι pr. **A** 11 Ἀμαλθέης pr. **A** 13 ἀσφάλαξι pr. **A**] ἀσφάλαγξι m. ant. **A** ἀσπάλαξι G. Hermann 16 πλήθη Fix] πλήρη **A** θήκη Eberhard ἀλφιτῶν πλήρης Meineke 17 πίθος **S**

στεινῆς ἔφευγε δειλὸς ἐς μυχὸν τρώγλης,
ἄσημα τρίζων τόν τε πρόξενον θλίβων.
μικρὸν δ' ἐπισχὼν εἶτ' ἔσωθεν ἐκκύψας
ψαύειν ἔμελλεν ἰσχάδος Καμειραίης·
ἕτερος δ' ἐπῆλθεν ἄλλα τι προαιρήσων·
οἱ δ' ἔνδον ἐκρύβοντο. μῦς δ' ἀρουρίτης
'τοιαῦτα δειπνῶν' εἶπε 'χαῖρε καὶ πλούτει
καὶ τοῖς περισσοῖς αὐτὸς ἐντρύφα δείπνοις,
ἔχων τὰ πολλὰ ταῦτα μεστὰ κινδύνων.
ἐγὼ δὲ λιτῆς οὐκ ἀφέξομαι βώλου,
ὑφ' ἣν τὰ κρῖμνα μὴ φοβούμενος τρώγω.'

Ταῦτα ῥητέον τῷ ἐν προσχήματι φιλίας κακαῖς συμβουλίαις ἀπάγειν ἡμᾶς βουλομένῳ ζωῆς ἀταράχου καὶ κινδύνοις καθυποβάλαι χάριν ῥεουσῶν ἡδονῶν.

## 109

'Μὴ λοξὰ βαίνειν' ἔλεγε καρκίνῳ μήτηρ
'ὑγρῇ τε πέτρῃ πλάγια κῶλα μὴ σύρειν.'
ὁ δ' εἶπε 'μῆτερ ἡ διδάσκαλος, πρώτη
ὀρθὴν ἄπελθε καὶ βλέπων σε ζηλώσω.'

Ἀντίρρησιν ὁ μῦθος ἔχει πρὸς τοὺς ἐναντίας τοῖς ἔργοις διδασκαλίας ποιουμένους.

## 110

Μέλλων ὁδεύειν τῆς κυνός τις ἑστώσης
εἶπεν 'τί χάσκεις; πάνθ' ἕτοιμά σοι ποίει·
μετ' ἐμοῦ γὰρ ἥξεις.' ἡ δὲ κέρκον οὐρείην
ἄρασά φησι 'πάντ' ἔχω, σὺ δ' ἀρτύνεις.'

Πρὸς ἄνδρα ἀπαρασκεύαστον, παρόσον ἐν ἑτοιμασίᾳ ὄντα καὶ περὶ συνοδοιπορίας κατεπείγοντα, ὁ λόγος εὔκαιρος.

---

24 δ' **S**] τ' **A** εὖτ' **S** 25 Καμειραίας **S** 27 ἀρουρίτης **L**] ἀρουρείτης **A** 28 τοιαῦτα δειπνῶν **A**] καίπερ τοσαῦτα πεινῶν **B** εἶπε Minas] εἶπεν **A**

**109** **A** **B** 91 **C** 295 1–2 — 4 ἄπελθε **A**] ἄγ' ἐλθέ Schneidewin ἔπελθε Fix ὀρθὰ βάδιζε **B** πρόει γε tetrastichon ζηλώσω **B**] ποιήσω **A** epim. ἐναντίας rec. **A**] ἐναντία pr. **A**

**110** **A** — 3 οὐρείην **G**] οὐραίης **A** οὐραίην Fix Meineke 4 δ' ἀρτύνεις **G**] δὲ βραδύνεις **A** δ' ἁβρύνῃ Lachmann δὲ τρίβεις Fix βαρδύνεις Ahrens δηθύνεις Nauck epim. παρόσον **G**] πρὸς τὸν **A** [πρὸς] et [καὶ] Boiss.

## 111

Μικρέμπορόϲ τιϲ ὄνον ἔχων ἐβουλήθη,
τοὺϲ ἅλαϲ ἀκούων παρὰ θάλαϲϲαν εὐώνουϲ,
αὐτοῦ πρίαϲθαι φορτίϲαϲ τε γενναίωϲ
τὸν ὄνον κατῆγε. τῆϲ δ' ὁδοῦ προκοπτούϲηϲ
ὤλιϲθεν ἄκων εἴϲ τι ῥεῖθρον ἐξαίφνηϲ
καὶ ϲυντακέντων τῶν ἁλῶν ἐλαφρύνθη,
ῥᾴων δ' ἀνέϲτη καὶ παρῆν ἀμοχθήτωϲ
εἰϲ τὴν μεϲόγειον. τοὺϲ ἅλαϲ δὲ πωλήϲαϲ
πάλιν γομώϲων τὸν ὄνον ἦγε καὶ πλείω
⟨ἔτ'⟩ ἐπετίθει τὸν φόρτον. ὡϲ δὲ μοχθήϲαϲ
διέβαινε τὸν ῥοῦν, οὗπερ ἦν πεϲὼν πρῴην,
ἑκὼν κατέπεϲε καὶ παλιμβόλωϲ τήξαϲ
γάρουϲ ἀνέϲτη κοῦφοϲ ὥϲ τι κερδήϲαϲ.
ὁ δ' ἔμποροϲ τέχνην μὲν ἐπενοεῖτ' ἄλλην·
ϲπόγγουϲ κατῆγεν ὕϲτερον πολυτρήτουϲ
ἐκ τῆϲ θαλάϲϲηϲ τούϲ θ' ἅλαϲ μεμιϲήκει.
ὁ δ' ὄνοϲ πανούργωϲ ὡϲ προϲῆλθε τῷ ῥείθρῳ,
εἴκων κατέπεϲεν· ἀθρόωϲ δὲ τῶν ϲπόγγων
διαβραχέντων πᾶϲ ὁ φόρτοϲ ὠγκώθη,
βάροϲ δὲ διπλοῦν ἦλθε βαϲτάϲαϲ νώτοιϲ.
[πολλάκιϲ ἐν οἷϲ τιϲ ηὐτύχηϲε καὶ πταίει.]

## 112

Μῦϲ ταῦρον ἔδακεν. ὁ δ' ἐδίωκεν ἀλγήϲαϲ
τὸν μῦν· φθάϲαντοϲ δ' εἰϲ μυχὸν φυγεῖν τρώγληϲ
ὤρυϲϲεν ἑϲτὼϲ τοῖϲ κέραϲι τοὺϲ τοίχουϲ,

---

**111** **A** **B** 92 **C** 254 1–3 **F** 122 = **C** p. 388 Aug. 176 'fabulam hanc Babrio plane indignam esse' putat Fixius — 1 μικρέμποροϲ **B F**] μικρὸϲ ἔμποροϲ **A** 3 αὐτοῦ **G**] τούτουϲ **A** τούτων Eberhard ὄνταϲ Lachmann φορτήϲαϲ **A** 6 ἠλαφρύνθη Lachmann 8 μεϲόγεων Duebner **L** 10 ⟨ἔτ'⟩ ἐπετίθει **L***] ἐπετίθει **A** ἐπενετίθει Boiss. 12 παλιμβόλωϲ **G**] πάλιν ὅλουϲ (γόμουϲ Bergk) **A** τούϲ δ' ἅλαϲ πάλιν Seidler 13 γάρουϲ **G**] ἀνέϲτη(β) γαῦροϲ(α) κοῦφοϲ (α et β supra scripsit m. rec.) **A** κούφωϲ ἀνέϲτη γαῦροϲ Eberhard 14 μὲν expunxit rec. **A** τιν' **L** (G. Hermann) ἐπενοεῖτ' ἄλλην **G**] ἐπενοεῖθ (in ἐπινοεῖ mutavit m. rec.) καὶ πλείϲτουϲ pr. **A** ἐπινοῶν, πλείουϲ (πλείουϲ Minas) **L** ὁ δὲ ἔμποροϲ τέχνην ἑτέραν νοήϲαϲ (excogitavit) ϲπόγγουϲ ὀνηϲάμενοϲ πεφορτώκει τὸν ὄνον **B** aliter intellexit hunc versum **F**: ὁ δὲ λυπηθεὶϲ ὁ κύριοϲ τοῦ ὄνου ἐπενόηϲεν (animadvertit) αὐτοῦ τὰϲ διανοίαϲ 16 τοὺϲθ' ἄλλαϲ **A** 17 προϲῆλθε **L***] προῆλθε **A** 18 εἴκων **G**] ἑκὼν **A B** τρίτον Seidler ἔθων Eberhard ἀπιὼν **F** ποιήϲαϲ οὖν τὸ εἰωθόϲ **C** 2 19 ὀγκώθη **A** [21] **L** πταίει **A**] πίπτει **B C** 2 **F**

ἕως κοπωθεὶς ὀκλάσας ἐκοιμήθη
παρὰ τὴν ὀπὴν ὁ ταῦρος. ἔνθεν ἐκκύψας
ὁ μῦς ἐφέρπει καὶ πάλιν δακὼν φεύγει.
ὁ δ' ἐξαναστὰς οὐκ ἔχων ὅ ποιήσει
διηπορεῖτο· τῷ δ' ὁ μῦς ἐπιτρύξας
'οὐχ ὁ μέγας ἀεὶ δυνατός· ἔσθ' ὅπου μᾶλλον
τὸ μικρὸν εἶναι καὶ ταπεινὸν ἰσχύει.'

## 113

Μάνδρης ἔσω τις πρόβατα συλλέγων δείλης
κνηκὸν μετ' αὐτῶν λύκον ἔμελλε συγκλείειν.
ὁ κύων δ' ἰδὼν πρὸς αὐτὸν εἶπε 'πῶς σπεύδων
τὰ πρόβατα σῶσαι, τοῦτον εἰσάγεις ἥμιν;'

Ὁ μῦθος δηλοῖ ὅτι οὐκ ἀσφαλὴς ἡ μετὰ τῶν κακῶν συνοικία.

## 114

Μεθύων ἐλαίῳ λύχνος ἑσπέρης ηὔχει
πρὸς τοὺς παρόντας ὡς ἑωσφόρου κρείσσων
λάμπειν ἅπασιν ἐκπρεπέστατον φέγγος·
ἀνέμου δὲ συρίσαντος εὐθὺς ἐσβέσθη
πνοιῇ ῥαπισθείς. ἐκ δὲ δευτέρης ἅπτων
εἶπέν τις αὐτῷ 'φαῖνε, λύχνε, καὶ σίγα·
τῶν ἀστέρων τὸ φέγγος οὔποτ' ἐκλείπει.'

Ὁ μῦθος ἡμᾶς διδάσκει μηδαμῶς φυσιοῦσθαι ἐπὶ τοῖς τοῦ βίου λαμπροῖς, ἐπισταμένους μηδὲν εἶναι μόνιμον.

---

**112** **A** — 5 ἔνθεν Duebner **L**] ἔνθεν δὲ **A**   9 αἰεὶ rec. **A**

**113** **A** **B** 89 **C** 271 — 1 δείλης **L**] δειλῆς **A**   2 κνάκον **A**   3 σπεύδων Bergk] σπεύδεις **A**   4 εἰσάγεις Bergk] εἰσάγων **A** πῶς τὰ πρόβατα θέλων σῶσαι (σῶσαι θέλων **C**) τοῦτον εἰσάγεις ἔσω (τόνδε τὸν λύκον συνεισάγεις τῇ ποίμνῃ **C**) **B C**   ἡμῖν· **A**

**114** **A V** 114 (Knoell p. 675) **B** 90 = **C** 239 — 4 ἀνέμου δὲ πνοῇ συρρεύσαντος **B C**   5 πνοιῇ **V** (commendaverat iam Fixius)] πνοῇ **A**   ῥιπισθεὶς marg. **A**   6 'φαῖνε, λύχνε, καὶ σίγα' **V B C**] βαιὸν ἦν λύχνου πνεῦμα **A**   7 τῶν δ' **A**   οὔποτ' (οὔποτε **B C**) ἐκλείπει **V B C** (ex **C** iam receperat Eberhardus)] οὐκ ἀποθνήσκει **A**   epim. ἡμᾶς διδάσκει μηδαμῶς φυσιοῦσθαι **A**] δηλοῖ μὴ ἐπαίρεσθαι **V** in **B C** hoc epim. est: ὅτι οὐ δεῖ τινα ἐν ταῖς δόξαις καὶ τοῖς λαμπροῖς (ἐν τοῖς λαμπροῖς καὶ τῇ δόξῃ **C**) τοῦ βίου τυφοῦσθαι· ὅσα γὰρ ἂν κτήσηταί τις, ξένα τυγχάνει.

## 115

Νωθὴc χελώνη λιμνάcιν ποτ᾽ αἰθυίαιc
λάροιc τε καὶ κήυξιν εἶπεν ἀγρώcταιc·
ʽκἀμὲ πτερωτὴν εἴθε τιc πεποιήκει.᾽
τῇ δ᾽ εὐτυχὴc ἔλεξεν αἰετὸc ταῦτα·
ʽπόcον, χέλυμνα, μιcθὸν αἰετῷ δώcειc
ὅcτιc c᾽ ἐλαφρὴν καὶ μετάρcιον θήcω;᾽
‚τὰ τῆc ἐρυθρῆc πάντα δῶρά coι δώcω.ʽ
ʽτοιγὰρ διδάξω᾽ φηcίν. ὑπτίην δ᾽ ἄραc
ἔκρυψε νέφεcιν, ἔνθεν εἰc ὄροc ῥίψαc
ἤραξεν αὐτῆc οὖλον ὄcτρακον νώτων.
ἡ δ᾽ εἶπεν ἐκψύχουcα ʽcὺν δίκῃ θνήcκω·
τί γὰρ νεφῶν μοι καὶ τίc ἦν πτερῶν χρείη,
τῇ καὶ χαμᾶζε δυcκόλωc προβαινούcῃ;᾽

## 116

Νυκτὸc μεcούcηc ᾖδε παῖc τιc εὐφώνωc.
γυνὴ δ᾽ ἀκούει τοῦδε κἀξαναcτᾶcα
θυρίδων προκύπτει καὶ βλέπουcα τὸν παῖδα
λαμπρῆc cελήνηc ἐν φάει καλὸν λίην,
τὸν ἄνδρ᾽ ἑαυτῆc καταλιποῦcα κοιμᾶcθαι
κάτω μελάθρων ἦλθε καὶ θύρηc ἔξω
ἐλθοῦc᾽ ἐποίει τὴν προθυμίην πλήρη.
ἀνὴρ δὲ ταύτηc ἐξανίcτατ᾽ ἐξαίφνηc
ζητῶν ὁπουcτὶ κοὐκ ἰδὼν δόμων εἴcω
ἀμηχανῶν τε καὐτὸc ἦλθεν εἰc οἶμον
καὶ τῇ cυνεύνῳ φηcί ʽμηδὲν ἐκπλήccου,
τὸν παῖδα δ᾽ ἡμῶν πεῖcον εἰc δόμουc εὕδειν.᾽

---

**115 A F** 193 = **C** p. 312 **C** 61 1–2 Aug. 229 — 1 λιμναίαιc pr. **A** in marg. 4 εὐτυχὴc **G**] ἐκ τύχηc **A** ἐντυχὼν Eberhard 5 χέλυνα Schneidewin χέλυννα Meineke 11 θνήιcκω **A** 12 τί γὰρ **A** Nauck] τίc γὰρ **L*** χρεία **A**

**116 A V** 129 (Knoell p. 677). — spuria haec fabula esse videtur Fixio, cui plures adstipulantur viri docti — 2 κἐξαναcτᾶcα **V** 4 λαμπρᾶc **A** λίαν **AV** 5 ἄνδρα αὐτῆc **V** καταλιποῦcα κοιμᾶcθαι **A**] εὕδοντα ἐκλιποῦcα **V** 7 ἐλθοῦcα ἐποίη **V** τὴν προθυμίην πλήρη Boiss.] τῆι προθυμιηι πληρη **A** τὴν προθυμίαν πᾶcαν **V** 8 ἁνὴρ **L**] ἀνὴρ **V** ὡνὴρ **A** 9 ὁπουcτὶ **A**] ἐφευρεῖν **V** δόμον ἴcω **V** 10 ἀμηχανῶν Meineke] μηδὲν χανῶν (μελήcαc supra scripsit m. rec.) **A** μὴδὲν χαυνῶν **V** μηδὲν χαλῶν Knoell εἰc οἶμον rec. **A**] ειcοιμα pr. **A** εἰc οἶκον **V** 11 ἐκπλήττου **V** 12 δ᾽ om. **V** ἡμῖν Lachmann ἐν δόμοιc Hartung εὕδειν **AV**] ἥκειν Schneidewin cπεύδειν Eberhard

ὃν καὶ λαβὼν παρῆγεν. εἶτα κἀκεῖνος
ἄμφω θελόντων δρᾶν τι· ‘τῇδε ῥᾳθύμει.’
[τουτὶ μὲν οὕτως· ἔμφασις δὲ τοῦ μύθου,
κακόν ἐστι χαίρειν ὅταν ἔχῃ τις ἐκτῖσαι.]

## 117

Νεώς ποτ’ αὐτοῖς ἀνδράσιν βυθισθείσης,
ἰδών τις ἔλεγεν ἄδικα τοὺς θεοὺς κρίνειν·
ἑνὸς γὰρ ἀσεβοῦς ἐμβεβηκότος πλοίῳ
πολλοὺς σὺν αὐτῷ μηδὲν αἰτίους θνήσκειν.
καὶ ταῦθ’ ὁμοῦ λέγοντος, οἷα συμβαίνει,
πολλῶν ἐπ’ αὐτὸν ἑσμὸς ἦλθε μυρμήκων,
σπεύδοντες ἄχνας πυρίνας ἀποτρώγειν·
ὑφ’ ἑνὸς δὲ δηχθεὶς συνεπάτησε τοὺς πάντας.
Ἑρμῆς δ’ ἐπιστὰς τῷ τε ῥαβδίῳ παίων
‘εἶτ’ οὐκ ἀνέξῃ’ φησί ‘τοὺς θεοὺς ὕμων
εἶναι δικαστὰς οἷος εἶ σὺ μυρμήκων;’

Ὁ λόγος διδάσκει ἡμᾶς μηδὲν ψέγειν τὰς τοῦ θεοῦ περὶ τοὺς ἀνθρώπους ἀκαταλήπτους οἰκονομίας, κἂν ἄδικοι τοῖς ἀπαιδεύτοις δοκοῖεν εἶναι.

## 118

Ξουθὴ χελιδών, ἡ πάροικος ἀνθρώπων,
ἦρος καλιὴν ηὐθέτιζεν ἐν τοίχῳ,
ὅπου γερόντων οἶκος ἦν δικαστήρων,
κἀκεῖ νεοσσῶν ἑπτὰ γίνεται μήτηρ.
[οὔπω πτερίσκοις πορφυροῖς ἐπανθούντων.]
ὄφις δὲ τούτους ἑρπύσας ἀπὸ τρώγλης
ἅπαντας ἑξῆς ἔφαγεν. ἡ δὲ δειλαίη
παίδων ἀώρων συμφορὰς ἐπεθρήνει

---

14 ‘τῇδε ῥᾳθύμει’ **G**] τῇδ’ (ἤδ’ **V** χἤδ’ Lachmann) ἐραθύμει **AV** [15—16] Eberhard 16 ἐστι χαίρειν Hartung] ἐπιχαίρειν **AV**

**117 A V**122 (Knoell p. 676) = **F**363 = **C** p. 410 **B**95 = **C**364 — 2 ἔλεγεν ἄδικα **A**] ἀδίκως ἔλεγε **V** κρίνυν **V** 3 πλείω **V** 4 θνήισκειν **A** 5 λέγοντες **A** 7 σπεύδων τὰς **V** 8 συνεπάτει **V** πάντας **VB**] πλείους **A** 9 δ’ (δὲ **B**) **VB**] τ’ **A** 10 εἶτ’ (εἶτα **B**) οὐκ ἀνέξῃ (ἀνέχῃ **B**) **AB**] εἶτ’ οὖν κἀνέξῃ **V** εἶτ’ οὖν κἂν ἐξῇ **F** 10—11 ὑμῶν εἶναι **V** εἶναι ὑμῶν **A** epim. διδάσκει ἡμᾶς μηδὲν **A**] δηλοῖ μηδένα τολμᾶν **V** δοκεῖεν **A** εἶναι om. **V**

**118 A B**96 **F**190 = **C** p. 398 **C**286 1–2 — 1 ξένη **BC** [5] **G** cum **BCF**] vv. 5 et 6 sedes mutabat Seidlerus scribens πορφυροῖσιν ἀνθούσας 8 ἀπεθρήνει Fix Meineke

'οἴμοι' λέγουσα 'τῆς ἐμῆς ἐγὼ μοίρης·
ὅπου νόμοι γὰρ καὶ θέμιστες ἀνθρώπων,
ἔνθεν χελιδὼν ἠδικημένη φεύγει.'

Κατὰ δικαστῶν ὁ λόγος βοηθεῖν δυναμένων τοῖς μηδὲν κακὸν πράξασι καὶ τούτοις ὑπὸ μειζόνων ἀδικουμένοις μηδεμίαν ἀντίληψιν παρεχομένων.

## 119

Ξύλινόν τις Ἑρμῆν εἶχεν· ἦν δὲ τεχνίτης.
σπένδων δὲ τούτῳ καὶ καθ' ἡμέρην θύων
ἔπρασσε φαύλως. τῷ θεῷ δ' ἐθυμώθη,
χαμαὶ δ' ἀπεκρότησε τοῦ σκέλους ἄρας.
χρυσὸς δὲ κεφαλῆς ἐρρύη καταγείσης,
ὃν συλλέγων ἄνθρωπος εἶπεν· 'Ἑρμεία,
σκαιός τίς ἐσσι καὶ φίλοισιν ἀγνώμων,
ὃς προσκυνοῦντας οὐδὲν ὠφέλεις ἥμας,
ἀγαθοῖς δὲ πολλοῖς ὑβρίσαντας ἠμείψω.
τὴν εἰς σὲ καινὴν εὐσέβειαν οὐκ ᾔδειν.'
[καὶ τοὺς θεοὺς Αἴσωπος ἐμπλέκει μύθοις,
βουλόμενος ἡμᾶς νουθετεῖν πρὸς ἀλλήλους.
πλέον οὐδὲν ἕξεις σκαιὸν ἄνδρα τιμήσας,
ἀτιμάσας δ' ἂν αὐτὸν ὠφεληθείης.]

## 120

Ὁ τελμάτων ἔνοικος, ὁ σκιῇ χαίρων,
ὁ ζῶν ὀρυκτοῖς βάτραχος παρ' εὐρίποις,
εἰς γῆν παρελθὼν ἔλεγε πᾶσι τοῖς ζῴοις
'ἰατρός εἰμι φαρμάκων ἐπιστήμων,
οἵων τάχ' οὐδεὶς οἶδεν, οὐδ' ὁ Παιήων,
ὃς Ὄλυμπον οἰκεῖ καὶ θεοὺς ἰατρεύει.'

---

10 θέμις τε **A** 11 φεύγει **A**] φεύγω Lachmann ἐγὼ ἠδικήθην **B** ἔγωγε ἠδίκημαι **C** ἠδίκημαι **F** epim. κακῶς Eberhard τούτους .. ἀδικουμένους **A**

**119 A B** 97 **F** 21 = **C** p. 330 **C** 128¹⁻² — 2 ἡμέραν **A** 6 ἄνθρωπος **B C F L**] ἄνθρωπος **A** 7 σκαιός **A**] στρεβλός **B C F** ἐσσι Fix Meineke] εἶ **A** ut metrum explerent alii (Bergk, Haupt) σὺ post εἶ, alii (Duebner, Lachmann) τοῖς post καὶ inserebant 8 ὠφελεῖς **A** 9 ἀγαθοῖς **A B**] καλοῖς **C F** 10 om. **B C F** κενὴν **A** [11—14] Eberhard

**120 A V** 20 (Knoell p. 672) = **B** 113 **F** 154 = **C** p. 401 1 **C** 135 et 300 **C** p. 401 2 Avianus 6 — 2 εὐρύποις pr. **A** corr. m. ant. 4 εἰμι **V B C** 135 **F** (qui omnes hunc versum habent integrum)] εἶναι **A**

ʽκαὶ πῶϲʼ ἀλώπηξ εἶπεν ʽἄλλον ἰήϲῃ,
ὃϲ ϲαυτὸν οὕτω χλωρὸν ὄντα μὴ ϲῴζειϲ;ʼ

Πρὸϲ ἄνδρα ἀμαθῆ καὶ ἀπαίδευτον, ἄλλουϲ παιδεύειν ἐπαγγελλόμενον.

## 121

Ὄρνιϲ ποτʼ ἠϲθένηϲε. τῇ δὲ προϲκύψαϲ
αἴλουροϲ εἶπε ʽπῶϲ ἔχειϲ; τίνων χρῄζειϲ;
ἐγὼ παρέξω πάντα ϲοι· μόνον ϲῴζου.ʼ
ἡ δʼ ʽἂν ἀπέλθῃϲʼ εἶπεν, ʽοὐκ ἀποθνήϲκω.ʼ

Πρὸϲ τοὺϲ πονηρᾷ διαθέϲει χρηϲτότητα ἐπιδεικνυμένουϲ ὁ λόγοϲ εὔκαιροϲ.

## 122

Ὄνοϲ πατήϲαϲ ϲκόλοπα χωλὸϲ εἱϲτήκει·
λύκον δʼ ἰδὼν παρόντα καὶ ϲαφῆ δείϲαϲ
ὄλεθρον οὕτωϲ εἶπεν· ʽὦ λύκε, θνήϲκω
μέλλω τʼ ἀποπνεῖν· ϲοὶ δὲ ϲυμβαλὼν χαίρω.
ϲὺ μᾶλλον ἢ γὺψ ἢ κόραξ με δειπνήϲειϲ.
χάριν δέ μοι δὸϲ ἀβλαβῆ τε καὶ κούφην,
ἐκ τοῦ ποδόϲ μου τὴν ἄκανθαν εἰρύϲϲαϲ,
ὥϲ μου κατέλθῃ πνεῦμʼ ἀναλγὲϲ εἰϲ ᾅδου.ʼ
κἀκεῖνοϲ εἰπὼν ʽχάριτοϲ οὐ φθονῶ ταύτηϲʼ
ὀδοῦϲιν ἄκροιϲ ϲκόλοπα θερμὸν ἐξῄρει.
ὁ δʼ ἐκλυθεὶϲ πόνων τε κἀνίηϲ πάϲηϲ
τὸν κνηκίην χάϲκοντα λακτίϲαϲ φεύγει
ῥῖναϲ μέτωπα γομφίουϲ τʼ ἀλοιήϲαϲ.
ʽοἴμοιʼ λύκοϲ ʽτάδʼʼ εἶπε ʽϲὺν δίκῃ πάϲχω·
τί γὰρ ἄρτι χωλοὺϲ ἠρξάμην ἰατρεύειν
μαθὼν ἀπʼ ἀρχῆϲ οὐδὲν ἢ μαγειρεύειν.ʼ

Ὅτι οἱ τοῖϲ μηδὲν προϲήκουϲιν ἐπιτηδεύειν ἐπιχειροῦντεϲ εἰκότωϲ δυϲτυχοῦντεϲ βλάβην ἑαυτοῖϲ ἐπιφέρουϲιν.

---

8 χλωρὸν **B C** 300 (νόϲου δὲ φέρειϲ ἐπὶ τῆϲ ὄψεωϲ ϲύμβολον) Avianus (12 pallida caeruleus cui notat ora color) Roeper Seidler] χωλὸν **A V C** 135 **F** ὁ ϲαυτὸν ... ϲῴζων Duebner G. Hermann

**121** **A B** 111 **C** 152 1—3 **F** 14 et 157 = **C** p. 347 1—2 — 1 προκύψαϲ **A** 3 πάντα ϲοι Duebner **L**] ϲοι πάντα **A** 4 ἀποθνήιϲκω **A** v. 5 add. Lachmannus: χρονιώτερον γὰρ δορκάδοϲ βίον ζήϲω cf. ζωὴν ὑπέλθω δορκάδων ὑπερτέραν **C** 152[3] et ζωὴν γὰρ ζήϲω δορκάδοϲ ὑπερτέραν **F** 157

**122** **A** 11—12 **S** (κνηκίαϲ) epim. Georgides Gnom. I p. 67 **B** 106 **C** 259 1—3 **F** 134 = **C** p. 390 Aug. 227 — 4 τʼ Bekker δʼ **A** 5 δειπνήϲει **A** 7 ἄκανθα **A** εἰρύϲϲαϲ Fix **L***] εἰρύϲαϲ **A** 11 κἀνίηϲ **S**] καὶ ἀναιδείηϲ **A** 12 κνηκίαν **S** κνακίαν **A** λακτήϲαϲ **A**

## 123

Ὄρνιθος ἀγαθῆς χρύσε' ᾠὰ τικτούσης
⟨φιλοχρηματιστὴς ὢν⟩ ὁ δεσπότης εἶπεν·
'χρυσεῖον αὐτῆς ἔνδον ἐστὶ' καὶ θύσας
ἄλλων ὁμοίην εὗρεν οὖσαν ὀρνίθων.
ἀθροῦν δὲ πλοῦτον ἐλπίσας ⟨ἐν⟩ευρήσειν
ἀπεστερήθη καὶ τοὐλάττονος κέρδους.

## 124

Ὀρνιθοθήρᾳ φίλος ἐπῆλθεν ἐξαίφνης
μέλλοντι θύμβρα καὶ σέλινα δειπνήσειν.
ὁ δὲ κλωβὸς εἶχεν οὐδέν· οὐ γὰρ ἠγρεύκει.
ὥρμησε δὲ πέρδικα ποικίλον θύσων,
ὃν ἡμερώσας εἶχεν εἰς τὸ θηρεύειν.
ὁ δ' αὐτὸν οὕτως ἱκέτευε μὴ κτεῖναι·
'τὸ λοιπόν' ⟨εἶπε⟩ 'δικτύῳ τί ποιήσεις,
ὅταν κυνηγῇς; τίς δέ σοι συναθροίσει
εὐωπὸν ἀγέλην ὀρνέων φιλαλλήλων;
τίνος μελῳδοῦ πρὸς ⟨τὸν⟩ ἦχον ὑπνώσεις;'
ἀφῆκε τὸν πέρδικα καὶ γενειήτην
ἀλεκτορίσκον συλλαβεῖν ἐβουλήθη.
ὁ δ' ἐκ πετaύρου κλαγγὸν εἶπε φωνήσας·

---

**123 A B** 112 **C** 136$^{1-3}$ **F** 153 = **C** p. 335 — 1 χρυσέ' ᾠὰ **L***] ὠιὰ χρυσᾶ **A** hic versus ultimus cod. **A** (fol. 42$^{v}$). qui sequuntur in fol. 73$^{r}$, excogitati sunt atque adiecti a Mina:

θησαυρὸν ᾤεθ' ὁ δεσπότης ἐνευρήσειν
ἐν τῇσδε πολλὸν ἐγκάτοις ἀγερθέντα·
κἄκτεινε ταύτην ἀθρόον θέλων λήψειν.
εὑρὼν δ' ὅμοια τἄνδον ὀρνέοις ἄλλοις
ᾤμωζε πολλὸν ἐλπίδων ἀτευκτήσας.
πλείονος ἔρως γὰρ ἐστέρησε τῶν ὄντων.

(2 ὁ δεσπότης θησαυρὸν ᾤεθ' εὑρήσειν **L*** Schneidewin 4 ἀθρόων μένων λῆψιν Lachmann) 2—5 restituit **G** ex **B**: Ὅτι τοῖς παροῦσιν ἀρκείσθω τις καὶ τὴν ἀπληστίαν φευγέτω (φευγέτωσαν **B**). — Ὄρνιν τις εἶχε καλὴν χρυσᾶ ᾠὰ τίκτουσαν. νομίσας δὲ ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι καὶ θύσας εὗρεν οὖσαν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρεῖν καὶ τοῦ μικροῦ κέρδους ἐστέρητο. 5 εὑρήσειν **C**[1] 6 ἀπεστερήθη **F**

**124** 13—15 a **S** (πεταύρα) **V** 155 (Knoell p. 685) = **F** 369 = **C** 413 restituerunt C. E. Schneider et Corais — 1 αἴφνης **V** 2 θύμβραν **F** 4 δὲ **V** θύσον **V** 5 ἡμερώσας **F**] ἡμερώσαν **V** 6 δὲ **V** 7 ⟨εἶπε⟩ Schneider] om. **V** 9 εὐωπὸν Schneider] εὐωπῶν **V** 10 ⟨τὸν⟩ **C**] om. **V** 11 γενειήτην **C**] γεννειήτην **V** 12 ἐβουλήθη I. G. Schneider] ἐβουλήθει **V** ἠβουλήθη **F** 13 δὲ **V** πεταύρου **S**] τοῦ τέγους **V** κλαγγὸν **S**] κλαγγὴν **V** κλαγκτὸν Iacobs τρανὸν Toup φωνήσας **V**] βοήσας **S**

῾πόθεν μαθήςῃ πόςςον εἰς ἕω λείπει,
τὸν ὡρόμαντιν ἀπολέςας με; πῶς γνώςῃ
πότ᾿ ἐννυχεύει χρυςότοξος Ὠρίων;
ἔργων δὲ τίς ςε πρωινῶν ἀναμνήςει,
ὅτε δροςώδης ταρςός ἐςτιν ὀρνίθων;᾿
κἀκεῖνος εἶπεν ῾οἶδα, χρηςίμως ὥρμας·
ὅμως δὲ δεῖ ςχεῖν ⟨τὸν φίλον⟩ τί δειπνήςει.᾿

Ὅτι τῷ ἀνδρὶ δουλεύειν ἐπιθυμίαις εἰθιςμένῳ οὐδεὶς λόγος ἰςχυρὸς πρὸς τὸ μὴ πράττειν ἀεὶ τὰ καθ᾿ ἡδονήν.

## 125

Ὄνος τις ἀναβὰς εἰς τὸ δῶμα καὶ παίζων
τὸν κέραμον ἔθλα καί τις αὐτὸν ἀνθρώπων
ἐπιδραμὼν κατῆγε τῷ ξύλῳ παίων.
ὁ δ᾿ ὄνος πρὸς αὐτόν, ὡς τὸ νῶτον ἠλγήκει,
῾καὶ μὴν πίθηκος ἐχθές᾿ εἶπε ῾καὶ πρῴην
ἔτερπεν ὑμᾶς αὐτὸ τοῦτο ποιήςας.᾿

Ὁ μῦθος πρὸς ἄνδρας τοὺς ἐναντίως ἔχοντας τὰς δόξας καὶ κινδύνους ἑαυτοῖς ἐπιφέροντας.

## 126

Ὁδοιπορῶν ἄνθρωπος εἰς ἐρημαίην
μούνην κατηφῆ γραῦν τιν᾿ εὗρεν ἑςτῶςαν

---

14 μαθήςει πόςον **V** 15 ὡρόμαντιν I. G. Schneider] ὡρομάτην **V** ὡρονόμον **S** ὡρομαθὴν **F** ἀπολέςας **V**] θύςας **S** με **S**] om. **V** 17 προινῶν **V** 19 οἶδα **V** οἶςθα C. E. Schneider οἶδας ἠρίμους Nauck χρηςίμως ὥρμας **G**] χρηςίμους ὥρας **V** 20 ὅμως **V**] ἐμὸν Nauck ⟨τὸν φίλον⟩ C. E. Schneider] om. **V** τί Schneider] τι **V** τι δειπνῆςαι Lachmann

**125** **V** 141 (Knoell p. 684 sq.) = **F** 368 = **C** p. 268 — 4 τὸ C. E. Schneider] τὸν **V** 5 πίθηκος ἐχθές Buttmann] ὁ πίθηκος χθὲς **V**

**126** **V** 133 (Knoell p. 683) = **F** 364 = **C** p. 411 **B** 98 = **C** 365 Eberhard 128

Ὁδοιπορῶν ἄνθρωπος εἰς ἐρημίαν
ἑςτῶςαν εὗρε τὴν ἀλήθειαν μόνην
καί φηςιν αὐτῇ· δι᾿ ἣν αἰτίαν, γύναι,
τὴν πόλιν ἀφεῖςα τὴν ἐρημίαν ναίεις;
ἡ δ᾿ εὐθὺ πρὸς τάδ᾿ εἶπεν ἡ βαθυγνώμων·
ὅτι ποτὲ παρ᾿ ὀλίγοιςιν ἦν ψεῦδος,
νῦν εἰς πάντας βροτοὺς ἐλήλυθε ψεῦδος.
εἰ δέ ἐςτιν εἰπεῖν καὶ βεβούληςαι κλύειν,
ὁ νῦν πονηρὸς βίος ἐςτὶν ἀνθρώπων. **V**

epimythium idem est quod in textu posuimus.

Ὅτι κάκιςτος βίος καὶ πονηρὸς τοῖς ἀνθρώποις ἔςται, ὅτε τὸ ψεῦδος προκρίνεται τῆς ἀληθείας. — Ὁδοιπορῶν τις ἐν ἐρήμῳ εὗρε γυναῖκα μόνην κατηφῆ ἑςτῶςαν καί φηςιν αὐτῇ· ῾τις εἶ;᾿ ἡ δὲ ἔφη· ‚ἀλή-

καί φηςιν αὐτῇ· ‘τίς ποτ’ εἶ;’ ‚ἀληθείη.‘
‘καὶ διὰ τίν’’ εἶπε κεῖνος ‘αἰτίην, γραίη,
τὴν πόλιν ἀφεῖςα τὴν ἐρημίην ναίεις;’
ἡ δ’ εὐθὺ πρὸς τάδ’ εἶπεν ἡ βαθυγνώμων·
‚ὅτι πρὸ τοῦ μὲν παρ’ ὀλίγοιςιν ἦν ψεῦδος,
νῦν δ’ εἰς ἅπαντας ἐξελήλυθ’ ἀνθρώπους.
εἰ δ’ ἔςτιν εἰπεῖν καὶ κλύειν τι βουλήςῃ,
ὁ νῦν πονηρὸς καιρός ἐςτιν ἀνθρώπων,
τὸ ψεῦδος ὅτι ⟨νῦν⟩ πρόκριτόν ἐςτ’ ἀληθείης.‘

Ὁ λόγος οὗτος ἀνθρώπους κωμῳδεῖ ὧν ἡ ἀλήθεια μακρὰν πέφευγε διὰ τὸ τῷ ψεύδει τούτους φιλεῖν καὶ μᾶλλον συνοικεῖν.

## 127

Ὁ Ζεὺς τὸν Ἑρμῆν ἀμπλακήματ’ ἀνθρώπων
ἅπαντ’ ἐν ὀςτράκοιςιν ὥριςεν γράψαι
ἐκέλευςε τ’ εἰς κιβωτὸν αὐτὰ ςωρεύειν
ςταθεῖςαν αὐτοῦ πληςίην, ἐρευνήςας
ὅπως ἑκάςτου τὰς δίκας ἀναπράςςῃ.
τῶν ὀςτράκων δὲ κεχυμένων ἐπ’ ἀλλήλοις
τὸ μὲν βράδιον τὸ δὲ τάχιον ἐμπίπτει
εἰς τοῦ Διὸς τὰς χεῖρας, εἴ ποτ’ εὐθύνοι.
τῶν οὖν πονηρῶν οὐ προςῆκε θαυμάζειν,
ἂν θᾶςςον ἀδικῶν ὀψέ τις κακῶς πράςςῃ.

---

θεια.‘ ‘καὶ διὰ ποίαν αἰτίαν τὴν πόλιν ἀφεῖςα τὴν ἐρημίαν οἰκεῖς;’ ἡ δὲ εἶπεν, ὅτι τοῖς πάλαι καιροῖς παρ’ ὀλίγοις ἦν τὸ ψεῦδος, νῦν δὲ εἰς πάντας ἀνθρώπους ἐςτίν, ἐάν τι ἀκούειν καὶ λέγειν θέλεις. **B** 1 ἐρημαίαν Nauck ὁδοιπορῶν τις ἐν τόποις ἐρημαίοις Eberhard 2 rest. Eberhard 3 τίς ποτ’ εἶ cὺ δή, γραίη Eberhard 3—4 καί φηςιν αὐτῇ· διὰ τίν’ αἰτίην, γραῖα Lachmann 7 ὅτι πρὸ τοῦ μὲν Lachmann] ἐν τοῖς παλαιοῖς Eberhard 8 rest. Eberhard 9 τι βουλήςῃ **G**] ἐμοῦ βούλῃ Schneidewin 10 πονηρὸς καιρὸς **G** (cf. **B** τοῖς πάλαι καιροῖς)] πονηρὸς βίοτος C. E. Schneider βιὸς πονηρὸς I. G. Schneider 11 add. **G** ex promythio **B**

**127** **V** 134 (Knoell p. 683) = **F** 365 = **C** p. 412 **B** 105 Eberhard 130 — 1—4 Ὁ Ζεὺς .... πληςίην **G**] ὁ Ζεὺς τὰς τῶν ἀνθρώπων ἁμαρτίας ἐν ὀςτράκοις τὸν Ἑρμῆν ὥριςε γράφειν καὶ εἰς κιβώτιον ἀποτιθέναι πληςίον αὐτοῦ **B** ὀςτράκῳ γράφοντι τὸν Ἑρμῆν ἐκέλευςεν ὁ Ζεὺς εἰς κιβωτὸν ταύτας ςωρεύειν **V** 1 ὁ Ζεὺς τὸν Ἑρμῆν ἐγγράφειν ποτ’ ἀνθρώπων 2 ἐν ὀςτράκοιςι τὰς ἁμαρτίας πάςας Eberhard 1 ὁ Ζεὺς γράφοντ’ ἐν ὀςτράκοιςιν Ἑρμείην Lachmann τὰ τῶν ἁπάντων ἀμπλακήματ’ ἀνθρώπων M. Schmidt 3 (nisi quod ἐκέλευςεν εἰς habet) rest. C. E Schneider 4 ἐρευνήςας Corais] ἵν’ ἐρευνίςας **V** om. **B** 5 **B**] ὅπως om. **V** ἀναπράςςει **V** 6 **V** (nisi quod ἐπ’ deest)] ςυγκεχυμένων δὲ τῶν ὀςτράκων ἐπ’ ἀλλήλοις 7 **VB** 8 **V**] εἰς τὰς τοῦ Διὸς χεῖρας εἴποτε καλῶς κρίνοιτο **B** 9—10 (nisi quod πράςςει exhibet) **V**] ὅτι οὐ χρὴ θαυμάζειν διὰ τοὺς ἀδίκους καὶ πονηρούς, ὅτι τάχιον οὐκ ἀπολαμβάνουςιν ὑπὲρ τῶν ἀδικιῶν αὐτῶν **B** promyth.

## 128

Ὄις τις εἶπε πρὸς νομῆα τοιαῦτα·
'κείρεις μὲν ἡμᾶς καὶ πόκους ἔχεις κέρσας,
⟨τὸ⟩ γάλα δ' ἀμέλγειν ἐστί σοι φίλον, πῆξαι,
ἡμῶν δὲ τέκνα μῆλά σοι περισσεύει.
δέον οὐδὲν ἡμῖν, ἀλλὰ χἠ τροφὴ γαίης
πᾶς', ⟨ἣν⟩ ἐν ὄρεσιν εὐθαλές τι γεννήσῃ,
βοτάνη γ' ἀραιὴ καὶ δρόσου γεμισθεῖσα.
φέρβοις δ' ἂν ἡμῖν τὴν κύν' ἐν μέσοις ταύτην,
τρέφων ὁποῖα σαυτὸν εὐθαλεῖ σίτῳ;'
ταῦτ' οὖν ἀκούσασ' ἡ κύων ἔφη τοῖα·
'εἰ μὴ παρήμην κἀν μέσοις ἐπωλεύμην,
οὐκ ἄν ποθ' ὑμεῖς ἔσχετ' ἄφθονον ποίην·
περιτρέχουσα πάντοθεν δὲ κωλύω
δρηστῆρα λῃστὴν καὶ λύκον διωκτῆρα.'

Ὁ μῦθος πρὸς τοὺς τῇ τῶν πλησίον διαφθονουμένους εὐημερίᾳ, ἔστιν ὅτε καὶ ὑπ' αὐτῶν ἐκείνων τὰ μέγιστα ὠφελουμένων.

## 129

Ὄνον εἶχέ τις καὶ κυνίδιον Μελιταῖον.
⟨τὸ⟩ κυνίδιον ἐκεχάριστο παῖζον εὐρύθμως
τὸν δεσπότην τε ποικίλως περισκαῖρον·

---

**128** **V** 136 (Knoell p. 683 sq.) = **F** 366 = **C** p. 405 Eberhard 131 — 1 νομῆα τοιαῦτα Buttmann] νομέα τοιάδε **V** 3 ⟨τὸ⟩ Buttmann om. **V** ἀμέλγειν **G**] ἀλμέγων (sic) **V** ἀμέλγοντ' Corais φίλον **V**] φλέον Lachmann 4 περισσεύει C. E. Schneider] περισσεύσει **V** 5 δέον **G**] πλέον δ' **V** πλέον C. E. Schneider χἠ Lachmann] καὶ **V** γαίας C. E. Schneider γῆς **V** 6 πᾶς', ⟨ἣν⟩ **G**] πᾶσα **V** ἅπας'· C. E. Schneider ὄρεσιν **V**] ὄρεσι δ' Lachmann τί Lachmann γεννήσῃ **G**] γεννήσει **V** 7 βοτάνη γ' ἀραιὴ Haupt] ὡραῖα βοτάνη **V** βοτάνη γ' ὀρείη Lachmann 8 φέρβεις δ' ἆρ Lachmann τὴν κύν' ἐν μέσοις Lachmann] ἐν μέσοις κύνα **V** 9 σίτω; **G**] σίτω. **V** 10 ταῦτ' οὖν **G**] ταῦθ' ὡς **V** τούτων Schneidewin ἀκούσασ' Schneidewin] ἤκουσεν **V** ἤκουσε τούτων ἡ κύων ἔφη θ' οὕτως Lachmann 11 μὶ **V** μέσοις ἐπωλεύμην C. E. Schneider] μέσοισι πωλεύμην **V** 12 αὔφθονον **V** ποίην C. E. Schneider] πόην **V** 13 rest. Matthiae] περιτρέχουσα δ' ἐγὼ πάντοθεν κωλύω **V** ἐγὼ δὲ περιτρέχουσα πάντα κωλύω C. E. Schneider epim. εὐημερίᾳ, ἔστιν ὅτε **G**] εὐημερίαν ἔστιν ὅτε **V** εὐημερίᾳ ἐστὶν, ὅτε **F** omnes ὠφελουμένων **V**] ὠφελοῦνται **F** omnes

**129** **V** 137 (Knoell p. 684) = **F** 367 = **C** p. 371 **C** 212[1] = Aug. 92 **C** 212[2] Eberhard 132 — 1 Lachmann ducibus **C**[1] (ἔχων τις κύνα Μελιταῖον καὶ ὄνον) et **C**[2] (ὄνος θεασάμενος ἓν τῶν Μελιταίων κυνιδίων)] ὄνον τις ἔτρεφε καὶ κυνίδιον πάνυ ὡραῖον **V** 2 ⟨τὸ⟩ κυνίδιον ἐκεχάριστο **G**] κυνίδιον δὲ χάριν ὃν **V**, qui ante hunc versum habet vv. 8—9 a Lachmanno demum rite conlocatos; τὸ κυνίδιον δ' ἔχαιρεν (ἔχαιρεν proposuerat iam Knochius) Lachmann παῖζον εὐρύθμως Seidler] εὐρύθμους (corr. **F**) παῖζον **V** 3 περισκέρον **V**

ἐκεῖνος αὐτὸ δ' ἐγκατεῖχε τοῖς κόλποις.
ὁ δέ γ' ὄνος ἀντεπαννύχιζε λατρεύων
πυρὸν φίλης Δήμητρος, ἡμέρης δ' ὕλην
κατῆγ' ἀφ' ὕψους, ἐξ ἀγροῦ δ' ὅσων χρείη.
καὶ μὴν ἐν αὐλῇ παρὰ φάτναισι δεσμώτης
ἔτρωγε κριθάς, χόρτον, ὥσπερ εἰώθει.
δηχθεὶς δὲ θυμῷ καὶ περισσὸν οἰμώξας,
σκύμνον θεωρῶν ἁβρότητι σὺν πάσῃ,
φάτνης ὀνείης δεσμὰ καὶ κάλους ῥήξας
ἐς μέσσον αὐλῆς ἦλθ' ἄμετρα λακτίζων.
σαίνων δ' ὁποῖα καὶ θέλων περισκαίρειν
τὴν μὲν τράπεζαν ἔθλασ' ἐς μέσον βάλλων,
ἅπαντα δ' ἐκθεὶς ἠλόησε τὰ σκεύη.
δειπνοῦντα δ' εὐθὺς ἦλθε δεσπότην κύσσων
νώτοις ἐπεμβάς· ἐσχάτου δὲ κινδύνου
θεράποντες ἐν μέσοις ἔσωσαν ὡς εἶδον.
κρανέης δὲ κορύναις ἄλλος ἄλλοθεν κρούων
ἔθεινον. ὃς δὴ καὐτὸς ὕστατ' ἐκπνείων
'ἔτλην' ἔλεξεν 'οἷα χρή με, δυσδαίμων·
τί γὰρ παρ' οὐρήεσσιν οὐκ ἐπωλεύμην,
βαιῷ δ' ὁ μέλεος κυνιδίῳ παρισούμην;'
[πεφύκασίν ⟨γ'⟩ οὐ πάντες εἰς ἅπαντ' ἶσοι.]

## 130

Πάγης ἀλώπηξ οὐκ ἄπωθεν ἑστῶσα
βουλὰς ἐκίνει ποικίλας τί ποιήσει.

---

4 rest. **G**] ἐκεῖνος δ' αὐτὸ κατέχων ἐν τοῖς κόλποις **V** ἐκεῖνος (κἀκεῖνος Eberhard) αὖ κατεῖχεν αὐτὸ τοῖς κόλποις C. E. Schneider Eberhard κἀκεῖνος ἀντέχαιρεν αὔτ' ἔχων κόλποις Lachmann 5 rest. **G**] ὁ δέ γε ὄνος τὴν μὲν νύκτα λατρεύων **V** 6 ἡμέρας **V** 7 κατῆγ' uterque Schneiderus] ἦγεν **V** ἀφ' **F**] ἐφ' **V** δ' ὅσων C. E. Schneider] δ' ὅσον **V** θ' ὅσων I. G. Schneider χρεία **V** 8—9 post v. 7 leguntur in **V** 8 μὴν **G**] ἦν **V** νῦν Lachmann στὰς Eberhard φάτναισι uterque Schneiderus] φάτναις **V** 10 δηχθεὶς C. E. Schneider] δαχθεὶς **V** 11 ἁβρότητι σὺν πάσῃ Nauck] ἐν ἁβρότητι πάσῃ **V** 13 μέσσον I. G. Schneider] μέσον **V** 15 ἔθλασ' ἐς μέσον βάλλων Eberhard] ἐς μέσον βαλὼν θλάσεν **V** 16 ἐκθεὶς **G**] εὐθεὶς **V** εὐθὺς **F** 17 κύσσων Lachmann] κρούσων **V** 19 ἐν μέσοις ἔσωσαν ὡς εἶδον **G**] ἐν μέσοισιν ὡς εἶδον ἐσάωσαν **V** ἐν μέσοισι ⟨τοῦτον⟩ ὡς εἶδον ἐσάωσαν .... Lachmannus, qui a verbo ἐσάωσαν versum deperditum incipere putabat 29 κρανέης Lachmann] κρανάης **V** 21 ὃς δὴ **G**] ὡς δὲ **V** ὡς δὴ Lachmann ὥστε Eberhard ἐκπνείων Lachmann] ἐκπνέων **V** ἔκπνεεν **F** 23 οὐρήεσσιν οὐκ ἐπωλεύμην C. E. Schneider] οὐρήεσιν οὐκ ἐπολεύμην **V** οὔρεσιν οὐκ ἐπολευόμην **F** [25] rest. **G**] ὅτι οὐ πάντες πρὸς πάντα ἴσοι πεφύκασι, κἂν φθόνῳ ἀλαζονεύωνται **V** ὁ λόγος δηλοῖ ὅτι οὐ πάντες πρὸς ταὐτὰ πεφύκασιν Aug.

**130** **V**9 (Knoell p. 685 sqq. Eberhard, Analecta Babriana p. 178 sq.) — 1 ἀλώπηξ πάγης **V** ἄποθεν **V** 2 πικήλας **V**

λύκος δὲ ταύτην πληςίον θεωρήςας
ἐγγὺς προςελθὼν τὸ κρέας λαβεῖν ᾔτει.
ἡ δ' εἶπεν· 'ἧκε τῇδε καὶ δέχου χαίρων·
φίλος γάρ εἰμι τῶν ἄγαν ἀναγκαίων.'
ὁ δ' ἀθρόως ἐπῆλθεν· ὡς δὲ προςκύψας
αὐτὴν ςκυτάλιδ' ἔςειςε καὶ χαλαςθείςης
ῥάβδου μέτωπα ςύν τε ῥῖνας ἐπλήγη,
'ἀλλ' εἰ διδοῖς φίλοιςιν' εἶπε 'τοιαῦτα
τὰ δῶρα, πῶς ςοί τις φίλος ςυναντήςει;

## 131

Νέος ἐν κύβοιςιν οὐςίην ἀναλώςας
ςτολὴν ἑαυτῷ κατέλιπεν μίην ⟨μούνην⟩,
χειμῶνος ὄντος μὴ πάθοι τι ῥιγώςας.
ἀλλ' αὐτὸν ἡθμὸς ἐξέδυςε καὶ ταύτης·
πρὸ γὰρ εἴαρος λιποῦςα ⟨τὰς⟩ κάτω Θήβας
ἐφάνη χελιδὼν ἐκπεςοῦςα τῆς ὥρης·
ταύτης ἀκούςας μικρὰ τιττυβιζούςης
'τί μοι περιςςῶν' εἶπεν 'ἐςθέων χρείη;
ἰδοὺ χελιδὼν ἥδε καῦμα ςημαίνει.'
ὡς δ' εἶπεν, ἐλθὼν τοῖς κύβοιςιν ὡμίλει
καὶ ςμικρὰ παίξας τὴν ςτολὴν ἐνικήθη.
νιφετὸς δ' ἐπῆλθε καὶ χάλαζα φρικώδης,
κροκύδος δ' ἐκείνης πᾶςιν ἦν τότε χρείη.
γυμνὸς δ' ἐκεῖνος τῆς θύρης ὑπεκκύψας
καὶ τὴν λάλον χελιδόν' αὖ κατοπτεύςας

---

4 λαβῆν **V** 5—6 transposuit **G**] 6.5 **V** 6 ἀναγγαίων **V** 7 ἀθρόως **V** ἀτρόμως **K** ὥςτε Hartel 8 αὐτὴν **G**] τὴν **V** τήν τε **K** ἄκρην Eberhard ςκύδαλιν ἔςιςε **V** 9 μέτοπα **V** 7—10 ὡς δὲ ... ἔςειςε καὶ ... ἐπλήγη, 'ἀλλ'... distinxit **G**] ὡς δὲ ... ἔςειςε, καὶ ... ἐπλήγη. ἀλλ'... **K** 10 rest. **G**] ἀλλ' ἢ (εἰ **K**) τοιαῦτα φηςὶ τοῖς φίλοις δίδως (δώςεις **K**) **V** de voce τοιαῦτα primus dubium movit Eberhardus, qui ipse dubitans proposuit ςὺ ταῦτα? idem vero cum adnotaret 'φηςὶ sc. ἡ κερδώ', falsus est 11 ςυναντίςει **V**

**131** **V** 130 (Knoell p. 686 sqq. Eberhard Analecta Babriana p. 179 sq.) **F** 123 = **C** p. 385 **C** 248 — 1 νέον ἐν (ἐν del. **K**) κύβοις οὖςιν **V** 2 κατέλιπεν μίην ⟨μούνην⟩ **K** (ἱματίου καὶ μόνου αὐτῷ περιλειφθέντος **F** ἱματίου δὲ μόνου περιλειφθέντος **C**)] μίαν κατελελοίπει **V** 3 χειμῶ **V** 4 ἡθμὸς **G**] ἡ χεὶρ **V** 'neque χεὶρ ἐξέδυςε nulla addita significatione de ludo talario potest intellegi' Eberhard, qui πλὴν ςκείραφος τὸν vel ὃν ςκειράφειον coniecit 5 εἴαρος γὰρ **V** ⟨τὰς⟩ **K**] om. **V** 7 τιττυβεζοῦςης **V** 8 ἐςθέων **K** (in adn. crit.)] ἐςθήτων **V** χρεῖα **V** 11 ἐνικήθει **V** ἐψιλώθη Eberhard 12 φρικώδεις **V** 13 δ' ἐκείνης **G**] δὲ καινὴς (καινῆς **K**) **V** δὲ χλαίνης (δὲ πυκνῆς in adn. crit.) Eherhard τότε **V**] τότ' αὖ Eberhard 14 θύρας ὑπεκύψας **V** 15 rest. **K**, nisi quod χελιδόνα intactum reliquit; χελιδόν' αὖ **G** Sauppe] καὶ κατοπτεύςας τὴν λάλον χελιδόνα **V**

ὑπὸ τοῦ κρύους πεσοῦσαν ὡσπερεὶ στρόμβον
'τάλαινα' φησίν 'εἴθε μοι τότ' οὐκ ὤφθης·
ὣς γὰρ ϲεαυτὴν κἀμὲ νῦν διεψεύσω.'

Ὅτι συνήθεια κακὴ πολλῶν κακῶν αἰτία γέγονε πολλοῖς, ὁμοίως καὶ τοῖς ψευδολόγοις πιστεύειν ἀνθρώποις· δεῖ οὖν ἡμᾶς ἀσφαλίσασθαι.

## 132

Ὄις μονήρης λύκον ἔφευγεν ἐξαίφνης
ἰδοῦσα, σηκοῦ δ' ἐντὸς ἦλθεν ἀκλείστου
(ἑορτὶς ἔτυχε γάρ τις οὖσα καὶ θοίνη).
ὁ λύκος δ' ἔσω μὲν οὐ παρῆλθε τοῦ τείχους,
ἔξω δ' ἐφεστὼς τὴν ὄιν καθωμίλει
'ὁρᾷς' λέγων 'τὸν βωμὸν αἵματος πλήρη;
ἔξελθε, μή τις συλλάβῃ σε καὶ θύσῃ.'
ἡ δ' εἶπε 'μή μου τῆς ἀσυλίης κήδου.
καλῶς ἔχει μοι· κἂν δὲ τοῦτο συμβαίνῃ,
θεοῦ γενοίμην σφάγιον ἢ λύκου θοίνη.'

Ὅτι ταῖς τῶν δολερῶν ἀνδρῶν κακοβουλίαις μὴ πιστευτέον προορωμένους τὸν τούτων δόλων, κἂν χρηστολογίαις ἐξαπατᾶν βουληθῶσιν.

## 133

Ὄνος παλιούρων ἤσθι' ὀξέην χαίτην.
τὸν δ' εἶδ' ἀλώπηξ, ἁρπάσασα δ' εἰρήκει·
'οὕτω τυχὼν ⟨σὺ⟩ πῶς ἀνειμένης γλώσσης
σκληρὸν μαλάσσῃ προσφάγημα καὶ τρώγεις;'

Ὁ μῦθος πρὸς τοὺς σκληροὺς καὶ ἐπικινδύνους προσφέροντας διὰ γλώσσης λόγους.

---

16 ὡσπερεὶ στρόμβον (= στρόβιλον 'velut nucamentum') **G**] ὡς στρουθίον **V** πεσοῦσαν ὥσπερ στρουθίον τι τῷ ψύχει **K** 17 φησίν Eberhard] εἶπεν **V** τότε οὐκ **V** 18 ὡς? Eberhard epim. πολῶν **V**

**132** **V** 135 (Knoell p. 687 sqq. Eberhard Anal. Babr. p. 180) **F** 107 = **C** p. 378 **C** 228 — 1 μονήρη **V** 3 rest. **G**] θυσία γὰρ ἦν τὶς ἑορτῆς κατὰ τύχην **V** 5 καθομίλει **V** 6 ὁρᾶς **V** πλήρης **V** 7 θύσει **V** 8 ἀσυλίας **V** 9 συμβαίη **V**

**133** **V** 142 (Knoell p. 687 sqq. Eberhard Anal. Babr. p. 181) **B** 108 — 1 παλλιούρων ἤσθιεν ὀξείην **V** 2 εἶδεν **V** ἁρπάσασα **V**] καγχάσασα Eberhard 3 rest. **G**] πῶς οὕτως ἁπαλῇ καὶ ἀνειμένῃ γλώσσῃ **S** 4 μαλάσσει **V** — Eberhardus hanc fabulam in **V** decurtatam exstare ratus ex **B**, ubi alteram eius recensionem legi existimat (ὄνος ἀκανθώδεις παλιούρους ἤσθιε. τοῦτον δὲ ἰδοῦσα ἀλώπηξ εἶπεν· 'πῶς οὕτω τῇ ἁπαλῇ γλώσσῃ τὸ σκληρὸν καὶ ἀκανθῶδες προσφάγιον ἐσθίεις;'), hos versus expiscabat:

παλίουρος ⟨ἦν τις ἐν βάτοις⟩ ἀκανθώδης,
ὄνος δὲ ταύτης ἤσθι' ὀξέην χαίτην.
κερδὼ δ' ἰδοῦσα τοῦτον εἶπε· 'πῶς οὕτως
ἁπαλῇ σὺ γλώσσῃ...

## 134

Οὐρή ποτ' ὄφεως οὐκέτ' ἠξίου πρώτην
κεφαλὴν βαδίζειν οὐδ' ἐφείπεθ' ἑρπούσῃ·
'κἀγὼ γάρ' εἶπεν 'ἐν μέρει προηγοίμην.'
τὰ λοιπὰ δὲ μέλε' εἶπεν· 'οὐδὲν ἡγήσῃ·
πῶς, ὦ τάλαινα, χωρὶς ὀμμάτων ἥμας
ἢ ῥινὸς ἄξεις, οἷς ἕκαστα τῶν ζῴων
τὰ πορευτὰ βαίνει πάντα ⟨καὶ⟩ πόδ' εὐθύνει;'
τὴν δ' οὐκ ἔπειθε, τὸ φρονοῦν δ' ἐνικήθη.
τὸ μὴ φρονοῦν δὲ λοιπὸν ἦρχε τῶν πρώτων,
τὰ δ' ὄπισθ' ἐνωπῆς ἡγεμὼν καθειστήκει.
κοιλὸν δὲ πέτρης εἰς βάραθρον ἠνέχθη
σύρουσα τυφλῇ πᾶν τὸ σῶμα κινήσει
καὶ τὴν ἄκανθαν ταῖς πέτρῃσι συντρίβει.
σαίνουσα δ' ἱκέτευεν ἡ πρὶν αὐθάδης·
'δέσποινα κεφαλή, σῶσον, ⟨εἰ θέλεις,⟩ ἥμας,
κακῆς γὰρ ἔριδος σὺν κακοῖς ἐπειράθην.'
⟨ἡ δ'⟩ 'εἰς τὸ πρῶτον μᾶλλον οὖν καταστάσῃ
ἐγὼ προσέξω' φησί, 'μή ποτ' ἀρχούσης
ἐμοῦ ⟨σὺ⟩ δόξῃς ὕστερον κακῶν κύρειν.'

Ὁ μῦθος διαβάλλει ἄνδρας ἀναισθήτους τοὺς ἰδίους δεσπότας, ἐπειγομένους τὴν ἰδίαν τάξιν, ἀγνοεῖν βουλομένους κἀντεῦθεν ὄλεθρον ἑαυτοῖς καὶ τοῖς πέλας ἐπιφέροντας.

---

**134** **V** 164 (Knoell p. 687 sqq. Eberhard Anal. Babr. p. 181 sq.) **B** 116 = **C** 260 — 1 οὐρή Eberhard] οὐρὰ **V** οὐκ ἐτιξίου **V** 4 μέλε' Eberhard] μέρη **V** μέλη **K** οὐδὲν ἡγήσῃ **G**] οὐχ' ἡγήσει **V** οὐχ ὑφηγήσῃ **K** ἢ σύ γ' ἡγήσῃ; Eberhard 5 ὦ **V**] γὰρ **K** ἡμᾶς **V** 6 ἔξεις **V** 7 πάντα ⟨καὶ⟩ πόδ' **G**] παντάποδ' **V** κἄντα τὸν πόδ' Eberhard πόδα θ' ἕκαστον **K** 10 ὄπισθ' ἐνωπῆς **G**] ὄπισθεν οὐρῆς **V** ὄπισθεν ὄφεως? Eberhard καθηστήκει **V** 11—12 transposuit **G**] 12 . 11 **VK**, qui difficultatem removebat scribendo κοιλόν τι 13 ἄκανθα **V** πέτρισι **V** 15 rest. **K** ex **B** (ubi legitur: σῶσον ἡμᾶς, εἰ θέλεις, δέσποινα)] δέσποινα κεφαλὴ σὺ ἡμᾶς σῶσον **V** 17—19 rest. **G**; capiti hos versus adtribui, cum et Knoellius et Eberhardus illud φησί (v. 18) neglegentes verba caudae continuari putent 17 εἰς τὸ πρῶτον οὖν με μάλλον κατάστασαν **V** εἰς πρῶτον οὖν μᾶλλόν γέ σοι καθιστάσῃ **K** εἰς τὸ πρὶν οὖν με μᾶλλον ἦν καταστήσῃς Eberhard 18 μήποτ' **V** 19 ⟨σὺ⟩ δόξῃς **G**] τῆς δόξης **V** ματαίης Eberhard ὑστέρω κακὸν κυρεῖν **V** † ἐμοῦ τῆς δόξης ὕστερον κακῶν κύρῃς (κύρω?) **K** epim. τοὺς ἰδίους δεσπότας, ἐπειγομένους (enixe curantes) τὴν ἰδίαν τάξιν, ἀγνοεῖν **G**] τοὺς ἰδίους δεσπόταις ἐπειγομένους τὴν ἰδίαν τάξιν ἀγνοῆν **V** τοῖς ἰδίοις δεσπόταις ἐπανισταμένους (ἐπερειδομένους? Eberhard) ⟨καὶ⟩ τὴν ἰδίαν τάξιν ἀγνοεῖν ('scriptum malim ἀνάγειν' Eberhard) **K** Eberhard ex **B**, ubi hoc promythium est: ἄνδρας δολίους καὶ κακοὺς καὶ τοῖς δεσπόταις ἐπανισταμένους ὁ μῦθος ἐλέγχει ὄλεθρον ἑαυτοὺς καὶ τοὺς πέλας ἐπιφέρουσιν **V**

## 135

Πέρδικά τις πριάμενος ἐντρέχειν οἴκῳ
ἀφῆκεν· ἡδέως γὰρ ἦγε τὸ ζῷον.
κἀκεῖνος εὐθὺς κλαγγὸν ἐξ ἔθους ᾄδων
πᾶσαν κατ' αὐλὴν ἄχρι βημάτων ᾔει.
γαλῆ πρὸς αὐτὸν ἠπίβουλος ὡρμήθη
καὶ πρῶτον εἶπε· 'τίς μὲν εἶ; πόθεν δ' ἥκεις;'
ὁ δ' ‚ἠγόρασμαι' φησί ‚πρόσφατος ⟨πέρδιξ⟩.'
'χρόνον τοσοῦτον ἔνθ' ἐγὼ διατρίβω
καί μ' ἔνδον ἔτεκεν ἡ μυοκτόνος μήτηρ,
ἀλλ' ἡσυχάζω καὶ πρὸς ἑστίην δύνω·
σὺ δ' ἄρτι πως ὠνητός, ὡς λέγεις, ἥκων
παρρησιάζῃ' φησί 'καὶ κατακρώζεις.'

Πρόσφορος ὁ μῦθος πρὸς γέροντας εἰς τιμὴν προκριθέντας καὶ ὑπὸ τῶν ἀνθρώπων καὶ ἀφθόνως ἐγκαλουμένους.

## 136

Χειμῶνος ὥρῃ σῖτον ἐκ μυχοῦ σύρων
ἔψυχε μύρμηξ, ὃν θέρους σεσωρεύκει.

---

**135** **V** 192 (Knoell p. 688 sqq. Eberhard Anal. Babr. p. 182 sq.) **F** 197 = **C** p. 399 **C** 291 — 1 πριάμενός τις Eberhard 2 ἦγε **G**] εἶχε **V** τοῦ ζῴου Eberhard 3 κλαγγὴν **V** 4 ἀκριβημάτων **V** 5 ἐπίβουλος **V** 7 ἡ δ' **V** πρόσφατος ⟨πέρδιξ⟩ **G**] προσφάτως **V** προσφάτως ⟨ὕμιν⟩ (cf. **C** ὁ δεσπότης με ἄρτι ὠνήσατο) **K** προσφάτως ⟨ἤδη⟩ Eberhard 8 rest. **K**, qui tamen χρόνον δὲ πόσσον scribit] ἐγὼ χρόνον τοσοῦτον ἐνθάδε διατρίβω **V** ἔνθ' **K**] ὧδ' Eberhard; 'fortasse sufficit scripsisse ἐγὼ χρόνον τοσοῦτον ἐνδιατρίβω' idem 9 ἡμιοκτόνος **V** 10 ἑστίαν **V** 11 δ' **K**] γὰρ **V** γ'? Eberhard 12 παρησιάζει **V** κατακρώζεις. **VK**] κατακράζεις; Eberhard epim. καὶ ὑπὸ τῶν ἀνθρώπων καὶ ἀφθόνως ('vel largiter') ἐγκαλουμένους **G**] καὶ (τοὺς add. Hartel) ὑπὸ τῶν ([τῶν] Eberhard) αὐτῶν κατὰ φθόνον (φθονο͂ν with ω above **V**) ἐγκλειομένους (ἐκκλειομένους Hartel) **V** — pro 7—12 **C** haec habet: ὁ δὲ εἶπεν· 'ὁ δεσπότης με ἄρτι ὠνήσατο'. ‚ἰταμώτατε ζῴων' ἔφη ‚πρόσφατος ὢν τοιαῦτα βοᾷν κατατολμᾷς; ἐμοὶ τῇ οἰκογενεῖ οὐκ ἐπιτρέπουσιν οἱ δεσπόται φθέγγεσθαι· ἀλλ' ἐάν ποτε τολμήσω, προσαγανακτοῦντες ἀπελαύνουσί με· καὶ σὺ ἀφόβως τολμᾷς παρρησιάζεσθαι (παραπλησιάζεσθαι **C**; corr. Eberhard)'; ὁ δὲ ἀποκριθεὶς εἶπεν· 'οἰκοδέσποινα, ἀλλὰ σύ γε βάδιζε μακρὰν ἐντεῦθεν· οὐχ ὁμοίως γὰρ δυσχεραίνουσιν οἱ δεσπόται ἐπὶ τῇ ἐμῇ φωνῇ ὅσον ἐπὶ τῇ σῇ. cadem vel saltem eiusdem tenoris verba leges etiam apud **F**

**136** Dosithei Magistri cod. Voss(ianus), unde restituit hanc fabulam primus Valckenarius Schediasmate de Hygini fragmento Dositheano in Miscell. Observv. critt. X, 1, p. 122 (cf. Boecking p. 37); cod. **P**(arisini) 6503 conlationem publicavit A. Boucherie in ''Ερμηνεύματα... de Julius Pollux,' Paris 1872, p. 246 = **C** $134^{3}$, 9—10 Georg. Gnomol. I p. 48 **C** $134^{1-2, 4-5}$ **F** 195 et 198 = **C** p. $334 sq.^{1-2}$ **B** 146 Eberhard 126 — 1 χειμονος **P** ωρη Voss. χρονω **P** συρον **P** σιρον Voss. *trahens* Voss. **P** 2 ηψυχε μυρμιξο θερους (*aestate*) ησωρεικει **P** θεροις *per aestum* Voss.

τέττιξ δὲ τοῦτον ἱκέτευεν λιμώττων
δοῦναί τι καὐτῷ τῆς τροφῆς, ὅπως ζήσῃ·
‘τί οὖν ἐποίεις’ φησί ‘τῷ θέρει τούτῳ;’
‚οὐκ ἐσχόλαζον, ἀλλὰ διετέλουν ᾄδων.‘
γελάσας δ’ ὁ μύρμηξ τόν τε πυρὸν ἐγκλείων
‘χειμῶνος ὀρχοῦ’, φησίν ‘εἰ θέρους ηὔλεις.’
[κρεῖττον τὸ φροντίζειν χρεῶν ἀναγκαίων
ἢ τὸ προσίσχειν τέρψεσίν ⟨τε⟩ καὶ κώμοις.]

## 137

Γάλλοις ἀγύρταις εἰς τὸ κοινὸν ἐπράθη
ὄνος τις οὐκ εὔμοιρος, ἀλλὰ δυσδαίμων,
ὡς εἰσφέρῃ πτωχοῖσι καὶ λεωργοῖσιν
πείνης ἄκος δίψης τε καὶ τὰ τῆς τέχνης.
οὗτοι δὲ κύκλῳ πᾶσαν ἐξ ἔθους κώμην
περιόντες ἐλεγείνουσι· τίς γὰρ ἀγροίκων
οὐκ οἶδεν Ἄττιν λευκὸν ὡς ἐπηρώθη;
τίς οὐκ ἀπαρχὰς ὀσπρίων τε καὶ σίτων
ἁγνῷ φέρων δίδωσι τυμπάνῳ Ῥείης;
ὄνου δὲ δήποτ’ ἀποθανόντος ἐκ μόχθου
τῇ διφθέρῃ ⟨γε⟩ τυμπάνοισιν ἐχρῶντο.

---

3 δηαυτην **P** ικετηυεν **P** ικετευσεν Voss. *rogabat* Voss. **P** λιμωτιχων **P** 4 και.αυτω Voss. δουνεαυτηιποτετες **P** οπως ζηση *unde et vivat* Voss. οπως ζωση *ut vivat* **P** 5 φησὶν Voss. **P** τουτω τω θερηι **P** 6 ουμοιεσχολαζον **P** διητηλουν αδων Voss. αδων διετηλων **P** 7 τελασας. δε. ο *ridens ergo autem* Voss. γελασλ σμυρμηξ και σιτον **P** ἐκλιων Voss. εκκληιων **P** *includens* Voss. **P** 8 θηρουλδηις *si aestate cantas* **P** εἰ θέρους ηὔλεις **B** [9—10] **L** om. Voss. **P** ὁ λόγος δηλοῖ ὅτι οὐδὲν κρεῖττον τοῦ φροντίζειν τῶν ἀναγκαίων τροφῶν καὶ μὴ ἀπασχολεῖσθαι εἰς τέρψιν καὶ κωμασίαν **F** 195 9 χρεῶν ἀναγκαίων Bergk] ἀναγκαίων χρειῶν Georg. 10 τὸ προσίσχειν Boiss.] τὸ προσέχειν Georg. νοῦν προσίσχειν Lewis ⟨τε⟩ Boiss.] om. Georg.

**137** 1—2, 5—9 Tzetzes in Chiliad. XIII, 263 οἱ παλαιοὶ ἀγύρται γάρ, ὥσπερ Βαβρίας γράφει, ἐν μυθιάμβοις τοῖς χωλοῖς, οὐ τοῖς ἰάμβοις λέγω, . . . εἰς ὄνον θέντες εἴδωλον θεᾶς αὐτῶν τῆς ‘Ρέας τυμπάνοις περιήρχοντο τὰς κώμας προσαιτοῦντες . . . ἄκουσον καὶ Βαβρίου δέ τινων χωλῶν ἰάμβων· γάλλοις κτλ. — 3—4 Natalis Comes in Mytholog. IX, 5 de Rhea p. 968 (ed. 1619) **C** 241 Lachmann 126 Eberhard 127 — 2. 1. **L** fabula haec inter eas quae ab O littera incipiunt conlocata 3 ὡς εἰσφέρῃ **G**] ὅστις φέρῃ Natalis Comes ὅπως φέροι? Eberhard λεωργοῖσιν **G**] πανούργοισιν Natalis Comes παντουργοῖσιν Nauck 4 ἄκος Bentley] σάκος Natalis Comes, qui vertit ‘scutum ut ferat...’ τὰ τῆς Lachmann] κακῆς Natalis Comes qui vertit ‘artis et malae vasa’ cf. τὰ σκεύη ἐπιτιθέντες **C** 6 περιόντες Dobree (Add. ad Plutum p. 135)] περιιόντες Tzetzes ἐλεγείνουσι **G**] ἔλεγον Tzetzes ἐλέγοντ’ ⟨ὄψα⟩ Lachmann ᾔτουν ⟨ᾖα⟩ Bergk 7 ‘malim legere εἶδεν’ Boiss. 10—15 rest. **G**] Μηναγύρται ὄνον ἔχοντες τούτῳ εἰώθεσαν τὰ σκεύη ἐπιτιθέντες ὁδοιπορεῖν. καὶ δήποτε ἀποθανόντος αὐτοῦ ὑπὸ τοῦ κόπου ἐκδείραντες αὐτὸν ἐκ τοῦ δέρματος

ἑτέρων ἀγυρτῶν τοῖς ἄνω δ' ἀπαντώντων
καὶ πυνθανομένων 'ποῦ ποτ' ἐςτὶ τὸ κτῆνος;'
,τέθνηκεν' εἶπον, ,λαμβάνει δὲ τὰς πλήξεις
ὁπόςας ἔτι ζῶν κεῖνος οὐδαμῶς ἔτλη.'

Οὕτω καὶ τῶν οἰκετῶν ἔνιοι, εἰ καὶ τῆς δουλείας ἀφεθῶςι, τῶν δουλικῶν οὐκ ἀπαλλάτονται.

## 138

Ὄνῳ τις ἐπιθεὶς ξόανον ἦγε κωμήτης,
ὃ προςεκύνουν ἅπαντες οἱ ςυναντῶντες.
τύφῳ δ' ἐπαρθεὶς ὄνος ἑαυτὸν ἀγροίκους
ςέβειν νομίζων ἤθελεν θεὸν ῥίψειν.
εἶπεν δὲ τοῦτον δεςπότης ξύλῳ παίων·
'ὄνος εἶ φέρων τὸ θεῖον, οὐ θεοῖς ἶςος.'

Κτηνώδεις ἄνδρας τοὺς τετυφωμένους ἐπ' ἀλλοτρίαις δόξαις ὁ μῦθος ἐλέγχει.

## 139

Σοφῆς ἀράχνης ἱςτὸν εὗρε κωλώτης
καὶ λεπρὸν ἐνέδυ φᾶρος ἐκτεμὼν τοίχου....

## 140

Δρῦες γονῆα τῶν θεῶν ἐμωμῶντο
'ἐπεί' λέγουςαι 'κοπτόμεςθα, ςὺν ⟨δένδροις⟩

---

τύμπανα κατεςκεύαςαν καὶ τούτοις ἐχρῶντο. ἑτέρων δὲ αὐτοῖς μηναγυρτῶν ἀπαντηςάντων καὶ πυνθανομένων αὐτῶν, ποῦ ἂν εἴη ὁ ὄνος, ἔφαςαν τεθνηκέναι μὲν αὐτόν, πληγὰς δὲ τοςαύτας λαμβάνειν ὅςας οὐδὲ ζῶν ὑπέμεινεν. **C**

**138** 1 **S** (κωμήτης) **B** 109 = **C** 257[1] **F** 135 = **C** p. 389 **C** 257[2] Eberhard 129 — 1 ἦγε **B** (qui integrum habet hunc versum praeter vocem κωμήτης quae deest)] εἶχε **S** 2—6 rest. **G** potissimum **B** = **C**[1] secutus ducem. — Ὄνῳ τις ἐπιθεὶς ξόανον ἦγε· πολλοὶ δὲ προςεκύνουν τῶν ςυναντώντων. ὁ δὲ ὄνος τυφωθεὶς νομίζων αὐτὸν (αὑτὸν **C**) προςκυνεῖν τοὺς ἀγροίκους ςκιρτῶν ἤμελλε τὸν θεὸν ῥίψειν (ῥίψαι **C**). ἀλλὰ τοῦτον ξύλοις (ξύλῳ **C**) παίων ὁ δεςπότης εἶπεν· 'ὄνος εἶ θεὸν φέρων, ἀλλ' οὐ θεοῖς (ὑπάρχεις add. **C**) ὁμότιμος.' **B C**[1] 2 πάντων δὲ τῶν ςυναντώντων προςκυνούντων τὸ ἄγαλμα **F** πάντες δ' ὁδῖται προςεκύνουν ςυναντῶντες Schneidewin πολλοὶ δὲ τοῦτο προςεκύνουν ςυναντώντων Eberhard 3 τύφῳ δ' ἐπαρθεὶς **C**[2] (tetrast. 3) 4 ςκιρτῶν (τ' add. Eberhard) ἔμελλε τὸν θεὸν καταρρίψαι Lewis 5 rest. Eberhard

**139 S** (κωλώτης) Eberhard 136

**140** 4—6 **S** (ςτελεόν) **B** 5 = **C** 356 **C** p. 407 Eberhard 143. referenda sine dubio est ad litteram Δ — 1—4 rest. **G**] Αἱ δρῦες κατεμέμφοντο τὸν Δία, ὅτι 'ἐπεὶ κοπτόμεθα, τί ἡμᾶς μετὰ τῶν λοιπῶν φυτῶν ἐποίηςας;' ὁ δὲ Ζεὺς εἶπεν· 'ὑμεῖς αὐταὶ αἴτιοι τῆς κοπῆς· εἰ μὴ γὰρ ὑμεῖς τὰ ςτελίδια ἐγεννᾶτε, οὐκ ἂν πέλεκυς ὑμᾶς ἐξέκοπτεν.' **B** 2 λέγουςαι **C** p. 407.

τί οὖν ἐποίεις πᾶσι ⟨καὶ⟩ φυτοῖς ἥμας;'
Ζεὺς δ' 'ἐςτέ' φηςίν 'αἴτιοι κοπῆς ὕμεις·
εἰ μὴ γὰρ ὑμεῖς τὰ cτελίδι' ἐγεννᾶτε,
οὐκ ἂν γεωργὸς πέλεκυν ἐν δόμοις εἶχεν.
[κακῶν ἑαυτοῖς αἴτιοι καταςτάντες
πολλοὶ τιθέαςιν ἀφρόνως θεῷ μέμψιν.]

## 141

Οὔπω δὲ καιρός ἐςτιν ἠίων ψαύειν.

## 142

Υἱὸν μόνον τις δειλὸς εἶχε γενναῖον.
νύκτωρ δ' ἰδὼν λέοντι τόνδε βρωθέντα
δεδιώς τε τοὔναρ μή τί πως ἀληθεύςῃ

---

3 πᾶςι **G**] ὑπὲρ πάντα γὰρ τὰ φυτὰ βιαίως τὴν τομὴν ὑφιςτάμεθα **C** p. 407 4 αὐταὶ ⟨γὰρ⟩ ὑμεῖς αἴτιαι κοπῆς ὕμιν Eberhard ὑμεῖς αὐταὶ αἴτιοι τῆς τοιαύτης ἑαυταῖς καθεςτήκατε ςυμφορᾶς **C** p. 407 5 τὰ cτελίδι' (cτελίδια cod.) ἐγεννᾶτε **B**] τοὺς cτειλειοὺς ἐγεννᾶτε **C** p. 407 cτελεὰ πάντα τίκτητε **S** 6 εἶχεν Boiss.] εἶχε **S** [7—8] rest. **G** duce **C** p. 407 (αἴτιοί τινες ἑαυτοῖς τῶν κακῶν καταςτάντες τὴν μέμψιν ἀφρόνως τιθέαςι τῷ θεῷ)] ὅτι αἴτιοι κακῶν ἑαυτοῖς τινες ὄντες τὴν μέμψιν ἀφρόνως τῷ θεῷ ἐπιτιθέαςιν **B**

**141** **S** et Zonaras (ἠίων, ἀχύρων) Eberhard 149 — ἠίων ψαύειν **G**] ἤια λύειν **S Z** ἤι' ἀλλύειν Toup ad 88, 11 referendum esse hoc fragm. putabat I. G. Schneiderus

**142** 6—7 **S** (βουκολήςας) et schol. Aristophan. ad Pacem 153 (ed. Duebner p. 467) 21—22 Etymologicum Magnum (πεπρωμένον) p. 662, 27 **B** 135 **F** 187 = **C** p. 393 **C** 264 Eberhard 138 — 1—5 et 8—20 rest. **G**] Υἱόν τις μονογενῆ γέρων δειλὸς (γέρων δειλὸς μονογενῆ **C**) ἔχων γενναῖον καὶ (καὶ om. **C**) κυνηγεῖν ἐφιέμενον (εἶδε hic habet **C**), τοῦτον καθ' ὕπνους εἶδεν ὑπὸ λέοντος θανατωθέντα (ἀναλωθέντα **C**). φοβηθεὶς δέ, μὴ ὕπαρ γένηται καὶ ἀληθεύςῃ ὄνειρος (μήπως ὁ ὄνειρος ἀληθεύςῃ **C**), οἴκημα κάλλιςτον καὶ μετέωρον καταςκευάςας ἐκεῖςε τὸν υἱὸν παρεφύλαττε (κατεςκεύαςε κἀκεῖςε τὸν υἱὸν εἰςαγαγὼν ἐφύλαττεν **C**)· ἐζωγράφηςε δὲ καὶ τὸ οἴκημα (δὲ ἐν τῷ οἰκήματι **C**) πρὸς τέρψιν (τοῦ υἱοῦ add. **C**) παντοίοις ζῴοις (παντοῖα ζῷα **C**) ἐν οἷς καὶ λέων ἐμορφώθη (ἦν καὶ λέων **C**). ὁ δὲ ταῦτα μᾶλλον (μᾶλλον om. **C**) ὁρῶν πλείω τὴν (πλείονα **C**) λύπην εἶχε. καὶ δή ποτε πληςίον τοῦ λέοντος ςτάς (εἶπεν hic habet **C**) 'ὦ κάκιςτον θηρίον' εἶπε 'διὰ ςὲ καὶ τὸν ψεύςτην (ψευδῆ **C**) ὄνειρον τοῦ ἐμοῦ πατρὸς γυναικίᾳ ἐνεκλείςθην φρουρᾷ (τῇδε τῇ οἰκίᾳ κατεκλείςθην ὡς ἐν φρουρᾷ **C**). τί ςοι ποιήςω;' καὶ εἰπὼν ἐπέβαλε τὴν χεῖρα τῷ τοίχῳ ὡς τυφλώςων τὸν λέοντα (τῷ τοίχῳ τὴν χεῖρα ἐκτυφλῶςαι τὸν λέοντα **C**). ςκόλοψ δὲ τῷ ὄνυχι (δακτύλῳ **C**) αὐτοῦ ὑπειςδὺς ἄλγημα ὀξὺ (ἐμπαρεὶς ὄγκωμα **C**) καὶ φλεγμονὴν μέχρι βουβώνων (βουβῶνος **C**) εἰργάςατο· πυρετός τε ἐπὶ τούτοις ἀνάψας τὸν παῖδα (δὲ ἐπιγενόμενος αὐτῷ **C**) θᾶττον τοῦ βίου ὑπεξήγαγεν (μετέςτηςεν **C**). ὁ δὲ λέων καίπερ γραπτὸς ὢν (καὶ οὕτως **C**) τοῦτον ἀνῃρήκει (ἀνῄρηκε τὸν παῖδα **C**) μηδὲν τῷ τοῦ πατρὸς ὠφεληθέντα ςοφίςματι. **B C** 1 **L** nisi quod pro μόνον habet γέρων 3 μήπως τοὔναρ ἀληθεύςῃ **F** δείςας δὲ τοὔναρ μή τί πως ἀληθεύςῃ Eberhard

οἴκημα μετέωρον καλὸν πεποιήκει
κἀκεῖ τὸν υἱὸν ἐγκαθεῖρξε τηρήcαc.
χὤπωc ἔχῃ τι βουκόλημα τῆc λύπηc
ἀνέθηκε τοίχοιc ποικίλαc γραφὰc ζῴων
πολλῶν, ἐν οἷcι καὶ λέων ἐμορφώθη.
ὃν ὁρῶν ἐκεῖνοc πλείον' εἶχε τὴν λύπην
καὶ cτὰc λέοντοc πληcίον ποτ' εἰρήκει·
'ζῷον κάκιcτον, διὰ cὲ καὶ πατρὸc ψεύcτην
ὄνειρον ὡc γυνή τιc ἐγκατεκλείcθην.
τί δὴ ⟨κακῶν⟩ ἔγωγέ c' ἀντιποιήcω;'
λέοντι ταῦθ' ὡc εἶπε, μετὰ βάτου τοίχῳ
τὴν χεῖρ' ἐπέβαλε τὸν λέοντα τυφλώcων.
cκόλοψ δὲ ταύτηc τῷ μύωπι προcκρούcαc
ἀλγήματ' ἐφλέγμανε μέχρι βουβώνων
πυρετόc τ' ἀνάψαc εἷλε τοῦ βίου θᾶττον.
λέων δὲ καίπερ γραπτὸc ὢν ἀνῃρήκει
πατρὸc cοφιcμῷ μηδὲν ὠφεληθέντα.
[ἅ cοι πέπρωται, ταῦτα τλῆθι γενναίωc
καὶ μὴ cοφίζου· τὸ χρεὼν γὰρ οὐ φεύξῃ.]

## 143

Ἦν αἰετόc τιc ὑπεράνω πέτρηc ἵζων
κἀνταῦθα δαcύποδ' ἐcκόπηcε θηρεῦcαι.

---

4 οἴκημα τερπνὸν... **F** Eberhard 6 χὤποc Toup] καὶ ὅπωc vel ὅπωc **S** οὕτωc schol. Arist. 7 ἀνέθηκε schol. Arist. Florens Christianus] ἐνέθηκε **S** τοίχοιc Florens Christianus] τοῖc τοίχοιc **S** schol. Arist. 8 ἐν οἷc καὶ λέων ἀνεμορφώθη **F** 9 ὡc οὖν ἑώρα τὸν λέοντα ὁ νέοc μᾶλλον κατεῖχεν αὐτὸν ἡ λύπη πλέον **F** 10 ὃc ἱcτάμενοc τοῦ λέοντοc πληcίον τούτῳ προcεῖπεν **F** καὶ τοῦ λέοντοc οὐκ ἀποcταθεὶc πόρρω Eberhard 11 διὰ τὸ ὄναρ τὸ ψευδὲc τοῦ πατρόc μου (om. cὲ καὶ) **F** 12 προcκατεκλείcθην (corr. **C** προcκατεκλείθην **F**) φρουρᾷ τῇ γυναικείᾳ **F** 13 ἃ τί δέ cοι ἐγὼ ἄρτι ποιήcω; **F** 14—18 ταῦτα (δὲ add. **C**, qui ea quae sequuntur versus politicos esse vidit) αὐτοῦ τῷ λέοντι εἰπόντοc ὑπεξέτεινε τὴν χεῖρα ὑπὸ βάτου (ἐπεξέτεινε τὴν χεῖρα ἐπὶ βάτον? Corais) τοῦ λαβεῖν κλάδουc καὶ τὸν λέοντα καῦcαι ('verbum hoc — καῦcαι — in codice adeo vetustate intercidit, ut vix aliqua satis distincta lectio adstrui possit. incertus haereo, an legendum sit κλᾶcαι, κροῦcαι, τύψαι, vel quid simile, quod sermo quidem postulare videtur' cf. Not. p. 64). εὐθὺc δὲ cκόλοψ προcκρούcαc τῷ δακτύλῳ ἄλγη μὲν μέγα ἐφλέγμανε τὸν νέον καὶ παραυτίκα ἄλαλοc κατεκλίθη. ὑπανάψαc δὲ πυρετὸc ἐξαπίνηc θᾶττον ὁ νέοc ἐξέλιπε τὸν βίον. **F** 19—20 non habet **F** 22 τὸ χρεὼν Sylburg] τῶν χρεῶν Etym. Magn. [21—22] Eberhard ὅτι ἃ δὴ μέλλει cυμβαίνειν τινί, ἐγκαρτερείτω τούτοιc γενναίωc, καὶ μὴ cοφίζεcθαι· οὐ γὰρ ἐκφευξεῖται **B** promyth. ὁ μῦθοc δηλοῖ ὅτι ἃ μέλλει cυμβῆναί τινι, τούτοιc γενναίωc ἐγκαρτερείτω καὶ μὴ καταcοφιζέcθω (corr. **C** καταcοφιζέτω **F**)· οὐ γὰρ ἐκφεύξει **F** ὁ μῦθοc δηλοῖ ὅτι οὐδεὶc δύναται τὸ μέλλον ἐκφυγεῖν **C** 264 an hic quoque latet choliambus τὸ μέλλον οὐδεὶc ἂν φυγεῖν δυνηθείη?

**143** 6 Tzetzes Chiliad. IX, 168 **B** 138 = **C** 133¹ **C** 133²⁻⁵ Eberhard 146 —

τὸν δ' ἔβαλέ τις καὶ τὸ βέλος ἐντὸς εἰςῆλθεν,
γλυφὶς δ' ἐν ὄψει cὺν πτεροῖcιν εἱcτήκει.
ἰδὼν δὲ ταῦτά φηcι 'τοῦτό μοι λύπη,
ἐμοῖc ὅτι πτεροῖcι νῦν κατεβλήθην.'
[κρατερώτερον τὸ κέντρον ἐcτὶ τῆc λύπηc,
ὅταν κακῶc πάcχῃ τιc ἐξ ἀναγκαίων.]

## 144

Ποιμὴν νεογνὸν εὗρέ τιc λύκου cκύμνον
κἀνείλετ' οἴκοι cὺν κυcὶν παραθρέψων.
ὢν δὲ μέγαc, εἰ λύκοc ποθ' ἥρπαcεν μῆλον,
ἐδίωκε καὐτόc· τὸν δὲ μὴ δυνηθέντων
κυνῶν καταλαβεῖν καὖθιc ἂψ ἀνελθόντων
ὅδ' ἠκολούθει καὶ μετέcχε τῆc θήρηc.
ξένοc εἰ δὲ μηδεὶc ἥρπαcεν λύκοc μῆλον,
θύων ἐθοινᾶτ' αὐτὸc ἅμα κυcὶν λάθρῃ,
ἕωc ὁ ποιμήν ποτε cυνεὶc τὰ cυμβάντα
ἔκτεινεν αὐτὸν εἴc τι δένδρον ἀρτήcαc.
[γνώμη πονηρὰ χρηcτὸν ἦθοc οὐ τίκτει.]

---

1—5 rest. **G**] ὑπεράνωθεν πέτραc ἀετὸc ἐκαθέζετο λαγωοὺc (λαγωὸν **C**) θηρεῦcαι cκοπῶν (ζητῶν **C**). τοῦτον δέ τιc ἔβαλε τοξεύcαc. καὶ τὸ μὲν βέλοc ἔcω (ἐντὸc αὐτοῦ **C**) εἰcῆλθεν, ἡ δὲ γλυφὶc cὺν τοῖc πτεροῖc πρὸ τῶν ὀφθαλμῶν εἱcτήκει. ὁ δὲ ἰδὼν ἔφη· 'καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖc ἐμοῖc (ἰδίοιc **C**) πτεροῖc ἀποθνήcκειν (ἐναποθνήcκειν **C**) **B C**[1]   3 τοῦτόν τιc ἔβαλε... τοξεύcαc Eberhard   5 ταῦτα add. **G** ex Tzetze, cuius locum cf. paullo inferius   6 ὅτι **G**] ἐγὼ Eberhard πτεροῖcι τοῖc ἐμοῖcι νῦν κατεβλήθην **L** 'Ο μυθογράφοc Αἴcωποc τοῖc μύθοιc αὐτοῦ πλάττει 'Ωc ἀετὸc πετόμενοc ἐφ' ὕψουc ἐτοξεύθη· 'Ιδὼν τὰ βέλουc δὲ πτερὰ τῶν ἀετείων ὄντα, ''Εμοῖc πτεροῖc' ἐβόηcεν 'ἐγὼ νῦν κατεβλήθην.' Tzetzes   [7—8] rest. **G**] ὅτι τὸ κέντρον τῆc λύπηc δεινότερόν ἐcτιν, ὅτε τιc ἐξ οἰκείων κινδυνεύει **B** promyth. ὁ μῦθοc δηλοῖ ὅτι δεινόν ἐcτιν, ὅταν τιc ἐκ τῶν οἰκείων κινδυνεύcῃ **C**[1] πρὸc τοὺc ἐκ τῶν ἰδίων κακῶc πάcχονταc **C**[3]

**144** [11] Georgides Gnomolog. I p. 21, 4 **C** 71 Eberhard 133 cf. **B** 127 quae fabula ab hac valde differt. Ποιμὴν νεογνὸν λύκου cκύμνον εὑρὼν καὶ ἀνελόμενοc cὺν τοῖc κυcὶν ἔτρεφεν. ἐπεὶ δ' ηὐξήθη, εἴ ποτε λύκοc πρόβατον ἥρπαcε, μετὰ τῶν κυνῶν καὶ αὐτὸc ἐδίωκε. τῶν δὲ κυνῶν ἔcθ' ὅτε μὴ δυναμένων καταλαβεῖν τὸν λύκον καὶ διὰ ταῦτα ὑποcτρεφόντων ἐκεῖνοc ἠκολούθει, μέχριc ἂν τοῦτον καταλαβὼν οἷα δὴ λύκοc cυμμετάcχῃ τῆc θήραc· εἶτα ὑπέcτρεφεν. εἰ δὲ μὴ λύκοc ἔξωθεν ἁρπάcειε πρόβατον, αὐτὸc λάθρᾳ θύων ἅμα τοῖc κυcὶν ἐθοινεῖτο, ἕωc ὁ ποιμὴν cτοχαcάμενοc καὶ cυνεὶc τὸ δρώμενον εἰc δένδρον αὐτὸν ἀναρτήcαc ἀπέκτεινεν. — ὁ μῦθοc δηλοῖ, ὅτι φύcιc πονηρὰ χρηcτὸν ἦθοc οὐ τρέφει. **C** — 1 rest. Nauckius   2—7 rest. **G**   8 rest. Eberhardus   9 rest. **G**] ἕωc ὁ ποιμὴν... καὶ cυνεὶc τὰ πραχθέντα? Eberhardus unius versus initium, alterius finem indicans   10 rest. Eberhardus   [11] **L**

## 145

Αἶγ' ἔτρεφέν τις ἅμα τ' ὄνον ποθ'· ἡ δ' αἴγη
ὄνον φθονοῦσα τῆς τροφῆς περισσεύειν
'ἀλλ' ὡς ἄπειρα' φησί 'δὴ καταικίζῃ
πυροὺς ἀλήθων καὶ βαρέα φέρων ἄχθη.
ἐπίληπτον οὖν σεαυτὸν ἔνθα ποιήσας
ἔμπιπτε βόθρῳ κἀναπαύσεως κῦρε.
ὁ δ' ἐπείθετ' αὐτῇ καὶ πεσὼν συνετρίφθη.
ᾔτει δ' ἰατρὸν δεσπότης βοηθῆσαι.
ὁ δ' ἔλεγεν αὐτῷ πνεύμον' ⟨ἡμέρης⟩ αἴγης
ἐγχυματίζειν, ἀκέσεως ὅπως κύρῃ.
θύσαντες οὖν τὴν αἶγα τὸν ὄνον ἠκοῦντο.
[ὅστις καθ' ἑτέρου δόλιον ἔργον ἐξεῦρεν,
ἀρχηγὸς αὐτῷ τῶν κακῶν καθεστήξει.]

## 146

Διοδοιπορήσας Ἡρακλῆς στενὸν χῶρον
ἐπὶ γῆς ἑώρα ⟨κείμενόν⟩ τι μηλῶδες

---

**145** **B** 3 = **F** 262 = **C** 153 **C** p. 348 (**C***); ad epim. cf. Georg. Gnomol. I p. 9 (Eberhard Anal. Babr. p. 186, 1) Αἶγα καὶ ὄνον ἔτρεφέ τις· ἡ δὲ αἶξ φθονήσασα τῷ ὄνῳ διὰ τὸ περισσὸν (περιττεύειν **C***) τῆς τροφῆς ἔλεγεν (εἰρωνικῶς συνεβούλευε λέγουσα **C***)· 'ὡς (om. **C***) ἄπειρα κολάζῃ ποτὲ μὲν ἀλήθων ποτὲ δὲ ἀχθοφορῶν (ἀχθηφορῶν **C***).' καὶ συνεβούλευεν (καὶ συνεβούλευεν om. **C***) ἐπίληπτον (οὖν add. **C***) ἑαυτὸν ποιήσαντα καταπεσεῖν ἔν τινι βόθρῳ καὶ ἀναπαύσεως τυχεῖν (ποιήσας τῷ βόθρῳ κρημνίσθητι **C***). ὁ δὲ πιστεύσας καὶ πεσὼν συνετρίβη (πεισθεὶς οὖν ὁ ὄνος ἐποίησεν, ὡς ἐδιδάχθη· ὅθεν καὶ συνετρίβη **C***). ὁ δὲ δεσπότης (ἀμφοτέρων add. **C***) τὸν ἰατρὸν καλέσας ᾔτει βοηθεῖν (βοηθεῖν τῷ ὄνῳ ᾐτεῖτο **C***). ὁ δὲ αἰγὸς πνεύμονα ἐγχυματίσαι ἔλεγεν αὐτῷ (ὁ δὲ πόμα τούτῳ δι' αἰγὸς πνεύμονος κατασκευασθὲν κεράσαι ὡρίσατο **C***) καὶ (οὕτω add. **C***) τῆς ὑγείας τυχεῖν. τὴν δὲ αἶγα θύσαντες (θύσαντες τοίνυν τὴν ἀθλίαν αὐτεπίβουλον αἶγα **C***) τὸν ὄνον ἰάτρευον. — Ὅτι (om. **C***) ὅστις καθ' ἑτέρου δόλια (δόλον **C***) μηχανᾶται, ἑαυτοῦ γίνεται (ἑαυτῷ ἐστι **C***) τῶν κακῶν ἀρχηγός (αὐτουργός **C***) **B C*** — 1—13 rest. **G** 8 ᾔτει βοηθεῖν... Eberhard [12—13] **G** cf. Georg. Βαβρίου· ἀρχιτέκτων (ἑαυτῷ add. Eberhardus) κακῶν πέφυκεν ὁ καθ' ἑτέρου δόλια φθεγγόμενος.

**146** **B** 26 = **F** 419 = **C** 308 (Eberhard Anal. Babr. p. 186, 3) Διὰ στενῆς ὁδοῦ ὥδευεν Ἡρακλῆς. ἰδὼν δὲ ἐπὶ γῆς μήλῳ ὅμοιόν τι ἐπειρᾶτο συντρῖψαι. ὡς δὲ εἶδε διπλοῦν γενόμενον, ἔτι μᾶλλον ἐπέβαινεν (ἐπέθετο **F C**) καὶ τῷ ῥοπάλῳ ἔπαιεν. τὸ δὲ φυσηθὲν εἰς μέγεθος τὴν ὁδὸν ἀπέφραξεν (ἐπέφραξεν **F C**)· ὁ δὲ ῥίψας τὸ ῥόπαλον ἵστατο θαυμάζων. Ἀθηνᾶ δὲ αὐτῷ ἐπιφανεῖσα εἶπεν· 'πέπαυσο δέ (δέ om. **F C**), ἀδελφέ, τοῦτό ἐστι φιλονεικία καὶ ἔρις· ἄν τις αὐτὸ καταλείπῃ ἀμάχητον, μένει οἷον ἦν πρῶτον· ἐν δὲ ταῖς μάχαις οὕτως οἰδεῖται.' — Ὅτι πᾶσι φανερὸν καθέστηκεν, ὡς (πᾶσι — ὡς om. **F C**) αἱ μάχαι καὶ ἔριδες αἰτίαι μεγάλης βλάβης ὑπάρχουσιν **B F C** — 1—12 rest. **G**

⟨πατῶν⟩ τ᾽ ἐπειρᾶτ᾽ αὐτὸ cυγκατατρῖψαι.
διπλοῦν δὲ μῆλον γενόμενον θεωρήcαc
ἐπέβαινε μᾶλλον καὖτ᾽ ἔπαιε τῷ ῥόπτρῳ·
τὸ δὲ μέγα φυcῶν τὴν ὁδὸν καταφράττει.
ῥίψαc τὸ ῥόπαλον Ἡρακλῆc τεθαμβήκει.
τῷ δὲ προcεῖπεν ἐπιφανεῖc᾽ Ἀθηναίη·
'πέπαυc᾽, ἀδελφέ· τόδ᾽ ἔριc ἐcτὶ καὶ νεῖκοc·
ἀμάχητον ἐμμένει γὰρ οἷον ἦν πρῶτον,
μάχαιcι δ᾽ εἰc τοcοῦτο μέγεθοc οἰδεῖται.'
[ἔριδεc μαχαί τ᾽ εἰc᾽ αἰτίαι μεγάληc βλάβηc.]

## 147

Ἔχιδναν ἐγγὺc ἐκπνέουcαν ἐκ ψύχουc
εὑρὼν γεωργὸc ⟨περι⟩έθαλψε τῷ κόλπῳ.
ὡc δ᾽ ὡμάλιζε χειρὶ τὴν ἁπλωθεῖcαν,
δακοῦcα τὸν γεωργὸν ἤδ᾽ ἀνῃρήκει.

Ὅτι ἀνδρὶ πονηρῷ μήτε καλῶc πράττοντι μήτε φαύλωc χάριν παράcχῃc· ἡ γὰρ πονηρὰ φύcιc ἀντὶ ἀγαθῶν πονηρὰ ἀνταποδίδωcιν· χρηcτὸν γὰρ ἦθοc οὐ τίκτει.

## 148

Εἶπεν κορώνῃ ⟨ποτὲ⟩ χελιδονὶc ταῦτα·
'ἐγὼ ⟨μέν εἰμι⟩ παρθένοc ⟨γ᾽⟩, Ἀθηναίη,
βαcίλιcca καὶ παῖc βαcιλέωc Ἀθηναίων.'
προcέθηκε καὶ τοῦ Τηρέωc ⟨κακὴν⟩ ὕβριν
καὶ τὴν ⟨ἑαυτῆc ἔλεγεν⟩ ἀποκοπὴν γλώccηc.

---

10 οἷον ἦν πρῶτον et 11 οἰδεῖται versuum clausulos esse vidit Eberhardus 12] epimythium cum numeris iambicis valde faveat etiam iambis expressam fuisse hanc fabulam indicare videtur

147 B 42 Ἔχιδναν ἐκ τοῦ ψύχουc ἐκπνέουcαν ἤδη γεωργὸc εὑρὼν ἐν τῷ κόλπῳ ἔθαλψεν ἡ δὲ ἁπλωθεῖcα καὶ τοῦ γεωργοῦ τῇ χειρὶ ταύτην ὁμαλίcαι βουληθέντοc δακοῦcα τοῦτον ἀπέκτεινεν. — 1–4 rest. G in epim. (= B promyth ) latet choliambus φύcιc πονηρὰ χρηcτὸν ἦθοc οὐ τίκτει. cf. fab. 144 πράττοντι Knoell] πράττων B

148 B 45 = F 381 = C 423 (Eberhard p. 186, 5 Ἡ om. F C) χελιδὼν ἔφη πρὸc τὴν (τὴν om. F C) κορώνην· 'ἐγὼ παρθένοc καὶ Ἀθηναία καὶ βαcίλιcca καὶ βαcιλέωc τῶν Ἀθηνῶν θυγάτηρ. καὶ (καὶ om. F C) προcέθηκε (δὲ add. F C) καὶ τὸν Τηρέα καὶ (καὶ τοῦ Τηρέωc F C) τὴν βίαν καὶ τὴν ἀποκοπὴν τῆc γλώττηc. καὶ ἡ κορώνη· 'τί ἄν' ἔφη (ἔφη· 'τί ἂν F C) ἐποίηcαc, εἰ τὴν γλῶτταν εἶχεc, ὅπου τμηθείcηc τοcαῦτα λαλεῖc;' B F C — 1—7 rest. G 2 in Ἀθηναία clausulam versus latere vidit Eberhardus

'τί δ' ἂν' ἦδ' 'ἐποίεις' εἶπ' 'ἔχουςα τὴν γλῶςςαν,
ὅπου λαλεῖς τοςαῦτα ⟨νῦν cὺ⟩ τμηθείςης;'

Ὅτι οἱ διὰ τοῦ λόγου ἀλαζόνες ψευδολογοῦντες αὐτοὶ ἑαυτοῖς ἔλεγχος καθίςτανται.

## 149

Θέρους ἐν ὥρῃ, καῦμ' ὅταν φέρῃ δίψαν,
κρήνηθεν ⟨ὁ⟩ λέων καὶ κάπρος πιεῖν ἦλθον.
ἐρίςαντες, αὐτῶν πότερος ἂν πίοι πρῶτος
ἤγειραν αὐτοὺς πρὸς φόνον ⟨τὸν⟩ ἀλλήλων.
ἄφνω δ' ἐπιςτραφέντες ⟨ἀντ⟩αναπνεῦςαι
γῦπας κατεῖδον προςδοκῶντας ὃς πταίςει.
λύςαντες οὖν τὴν ἔχθραν εἶπον· '⟨οὐ⟩ κρεῖςςον
φίλους ὑπάρξειν ἢ βοράν ⟨ποτ'⟩ ὀρνίθων;'
[τὰς ἔριδας φιλονεικείας τε καλὸν διαλύειν,
ὡς ἐπικίνδυνον πᾶςιν ἄγουςι τέλος.]

## 150

Κόραξ ἀγρευθεὶς ηὐχετίαςε τῷ Φοίβῳ
λιβανωτοθύςειν, ἐκλυθεὶς δὲ κινδύνου
λέληςτ'· ἀγρευθεὶς δ' αὖθις ὑπὸ πάγης ἄλλης
ἀφεὶς 'Απόλλω θῦμ' ὑπέςχεθ' Ἑρμείῃ.

---

7 ἡ δὴ λαλοῦςα νῦν τοςαῦτα τμηθείςης Eberhard  epim. ἀλαζόνες διὰ τοῦ λόγου ψευδολογοῦνται **B** promyth.

**149** **B** 49 = **F** 298 = **C** 223 **C**² (tetrast.) Eberhard 174 Θέρους ἐν ὥρᾳ ὅτε τὸ καῦμα δίψαν ἐμποιεῖ (δίψει λυπεῖ **F C**) εἰς μικρὰν πηγὴν λέων καὶ κάπρος ἦλθον πιεῖν. ἤριζον δὲ τίς πρῶτος αὐτῶν πίῃ. ἐκ τούτου δὲ πρὸς φόνον ἀλλήλων διηγέρθηςαν. ἄφνω δὲ ἐπιςτραφέντες πρὸς τὸ ἀναπνεῦςαι εἶδον γῦπας ἐκδεχομένους ὃς αὐτῶν πέςῃ, τοῦτον καταφαγεῖν. διὰ τοῦτο λύςαντες τὴν ἔχθραν εἶπον· 'κρεῖςςόν ἐςτιν ἡμᾶς φίλους γενέςθαι ἢ βρῶμα γυψὶ καὶ κόραξιν **B F C** — 1—8 rest. **G**  2 μικρὰν λέων καὶ κάπρος ἦλθον εἰς κρήνην? Eberhard  5 ⟨ἀντ⟩αναπνεῦςαι **G**] ὥςτ' ἀναπνεῦςαι Eberhard  7—8 φίλους γενέςθαι κρεῖςςόν ἐςτιν ἀλλήλοις ἢ βρῶμα γυψὶ καὶ κόραξιν ἐκκεῖςθαι? Eberhard  [9—10] distichon rest. **G**] ὅτι τὰς πονηρὰς ἔριδας καὶ τὰς φιλονεικίας καλόν ἐςτι διαλύειν, ἐπειδὴ πᾶςιν ἐπικίνδυνον (ἐπὶ κίνδυνον **F**) τέλος ἄγουςιν. **B** (promyth.) **F C**

**150** **B** 62 = **F** 287 = **C** 205 (Eberhard An. Babr. p. 187, 8) Κόραξ ὑπὸ παγίδος κρατηθεὶς εὔξατο τῷ 'Απόλλωνι λιβανωτὸν ἐπιθύςειν (ὑπιςχνῶν add. **F**). ςωθεὶς δὲ (δ' ἐκ **F C**) τοῦ κινδύνου τῆς ὑποςχέςεως ἐπελάθετο. πάλιν δὲ ὑφ' ἑτέρας κρατηθεὶς παγίδος ἀφεὶς τὸν 'Απόλλωνα τῷ Ἑρμῇ ὑπέςχετο θῦςαι. ὁ δὲ πρὸς αὐτὸν ἔφη· 'ὦ κάκιςτε, πῶς ςοι πιςτεύςω, ὃς τὸν πρότερόν ςου δεςπότην ἠρνήςω (ἤρνηςας **F C**) καὶ ἠδίκηςας;' **BFC** — 1—6 rest. **G**

ὁ δ' εἶπε· 'σοὶ πῶς, ὦ κάκιστε, πιστεύσω,
τὸν πρότερον ὅς σου δεσπότην ⟨ἀπ⟩ηρνήσω;'

Ὅτι οἱ πρὸς τοὺς εὐεργέτας ἀγνώμονες γενόμενοι ἐν περιστάσει ἐμπεσόντες οὐχ ἕξουσι βοηθούς.

## 151

Κύων μάχεσθαι θηρσὶν ἐντραφεὶς οἴκῳ
πολλοὺς σταθέντας ὡς ἐπεῖδεν ἐν τάξει
ῥήξας τραχήλου κλοιὸν ἄμφοδον φεύγει.
ἄλλοι κύνες δ' ἰδόντες εὔτραφῆ ταύρῳ
ἶσον 'τί φεύγεις;' εἶπον. οἷς ὅδ' εἰρήκει·
'τροφῇ περισσῇ ⟨μοι σύν⟩οιδα συζώων
καὶ σῶμα τοὐμὸν ⟨πολλαχῶς κατ⟩ευφραίνων·
ἀεὶ πάρεγγυς δ' εἰμὶ τοῦ καταθνήσκειν
μαχόμενος ἄρκτοις καὶ λέουσιν ⟨ἀθλεύων⟩.'
⟨ἐπὶ τοῖσδ'⟩ ἔλεξαν οἱ ⟨κύνες⟩ πρὸς ἀλλήλους·
'εἰ καὶ πενιχρόν, τὸν βίον καλὸν ζῶμεν·
ἡμεῖς γὰρ οὐ λέουσι μαχόμεθ' οὐδ' ἄρκτοις.'

Ὅτι οὐ δεῖ κινδύνους ἑαυτῷ ἐπιφέρειν διὰ τρυφὴν καὶ ματαίαν δόξαν, ἀλλὰ τούτους ἐκφεύγειν.

## 152

Λύκος ⟨τις⟩ ἑτέρων ⟨ποτὲ⟩ λύκων στρατηγήσας
νόμους ἔταξεν· 'ἤν τί τις κυνηγήσῃ

---

'numerorum vestigium unum superest πῶς σοι, κάκιστε, πιστεύσω;' (5) Eberhard  epim. εὐεργέτας **B** promyth.] εὐεργετοῦντας **F C**  βοηθούς **B**] βοήθειαν **F C**

**151** **B** 69 (Knoell 'Neue Babrianische Fabeln' p. 162, Eberhard p. 187, 9) Κύων τρεφόμενος ἐν οἴκῳ θηρσὶν εἰδὼς μάχεσθαι ἰδὼν πολλοὺς ἐν τάξει ἱσταμένους ῥήξας τὸν κλοιὸν τοῦ τραχήλου ἔφευγε διὰ τῶν ἀμφόδων. κύνες δὲ ἄλλοι τοῦτον ἰδόντες εὐτραφῆ οἷα ταῦρον εἶπον (εἶπεν **B** em. Knoell) 'τί φεύγεις;' ὁ δὲ εἶπεν· 'ὅτι μὲν τροφῇ συζῶν περισσῇ οἶδα καὶ σῶμα τὸ ἐμὸν εὐφραίνω· ἀεὶ δὲ πλησίον εἰμὶ θανάτου ἄρκτοις καὶ λέουσι μαχόμενος'. οἱ δὲ πρὸς ἀλλήλους εἶπον· 'καλὸν βίον ἡμεῖς εἰ καὶ πενιχρὸν ζῶμεν, οἵτινες οὔτε λέουσιν (κυσὶ **B** em. Knoell) οὔτ' ἄρκτοις μαχόμεθα.' — 1—12 rest. **G** 2 πολλοὺς ἰδὼν ἑστῶτας θῆρας ἐν τάξει?? Knoell  3 ῥήξας τραχήλου κλοιὸν.... Knoell  7 εὐφραίνων Hartel τροφῇ περισσῇ σῶμα τουμὸν εὐφραίνω ?? Knoell  10 .... πρὸς ἀλλήλους Eberhard  11 εἰ καὶ πενιχρὸν ζῶμεν Knoell  epim. = **B** promyth.

**152** **B** 82 **F** 111 = **C** p. 380 **C** 235 Eberhard 152 Λύκος τῶν λοιπῶν στρατηγήσας λύκων νόμους ἔταξε πᾶσι, ἵνα εἴ τι ἂν ἕκαστος κυνηγήσῃ, πάντα εἰς μέσον ἄξῃ καὶ μερίδα ἴσην ἑκάστῳ δώσῃ, ὅπως μὴ οἱ λοιποὶ ἐνδεεῖς ὄντες ἀλλήλους κατεσθίωσιν. ὄνος δὲ παρελθὼν τὴν

εἰς μέccον ἄξει πάντα μερίδ' ἴcην δώcων
πᾶcιν λύκοις, μὴ καταφάγωcιν ἀλλήλους.
ὄνος παρελθὼν δέ ⟨τις⟩ ἔcειcε τὴν χαίτην
'⟨αὕτη μέν⟩' εἰπὼν 'ἐκ λύκου καλὴ γνώμη·
χθεcινὴν δ' ἐναπέθου πῶς ἄγραν cὺ τῇ κοίτῃ;
ἄγε δεῦρο ταύτην ὡς ἀπομερίcων ⟨πᾶcιν.⟩'
οὗτος δ' ἐλεγχθεὶς τοὺς νόμους ἀνῃρήκει.

Ὅτι αὐτοὶ οἱ τοὺς νόμους δικαίως ὁρίζειν δοκοῦντες καὶ ἐν οἷς ὁρίζουσι καὶ δικάζουσιν οὐκ ἐμμένουσιν.

## 153

Λέγουσι πρῶτον ζῷα ⟨πάν⟩τα πλαcθῆναι
καὐτοῖcι ⟨δῶρα⟩ παρὰ θεοῦ χαριcθῆναι,
ἑτέρῳ μὲν ἀλκὴν ἢ τάχος, πτερὸν δ' ἄλλῳ·
γυμνὸς δὲ φὺς ἄνθρωπος εἶπε ⟨πρὸς Ζῆνα⟩·
'χάριτός ⟨γ'⟩ ἔρημον⟨cῆς⟩ με καταλιπεῖν μοῦνον.'
ὁ Ζεὺς δέ φηcι 'πῶς ἔχεις ἀναιcθήτως

---

χαίτην cείcας ἔφη· 'ἐκ φρενὸς λύκου καλὴ γνώμη· ἀλλὰ πῶς cὺ τὴν χθεcινὴν ἄγραν τῇ κοίτῃ ἐναπέθου; ἄγε ταύτην εἰς μέcον ἀπομερίcας (ἀπομερίcαι Knoell).' ὁ δὲ ἐλεγχθεὶς τοὺς νόμους ἀνέλυcεν. **B** Λύκος τῶν λοιπῶν λύκων ἐκcτρατηγήcας (cτρατηγήcας **C**) Πᾶcιν ἔταξε νόμον αὐτοῖς προτείνας Ἵνα τίς (ἵν' ὅτι τις **C**) αὐτῶν τιποτοῦν (δηποτοῦν Halm) κυνηγήcας Εἰς μέcον ἀγάγῃ (κυνηγήcῃ, μέcον ἀγάγῃ **C**) καὶ μοιράcῃ (μερίcαι **C**) τοῖς πᾶcιν. Τούτων οὖν (ταῦτ' οὖν Halm) ὄνος ἀκηκοὼς τὴν (ὄνου δὲ ἀκηκοότος [ταῦτα] πάντα **C**) χαίτην Ἔcειcε⟨ν εὐθὺς add. **C**⟩ καὶ γελῶν ταῦτα ἔφη· 'Καλὸν (ἔφη τάδε· καλῶς **C**) εἴρηκας, ὦ πρώταρχε τῶν λύκων· Ἀλλὰ πῶς cὺ χθὲς ἣν ἐκράτηcας ἄγραν Κοίτῃ παρέθου τῇ ἰδίᾳ λαθραίως [εἰς τροφὴν cὴν **F** (τροφήν cοι Halm) del. **C** p. 380; εἰς τροφήν cοι λαθραίως **C** 235]; Κόμιcον ταύτην (αὐτὴν **C** 235) μεριcθῆναι τοῖς πᾶcιν.' Ὁ δὲ θαμβηθεὶς κατέλυcε τοὺς νόμους **F** (versus politicos rest. **C** p. 380) **C** 235 — 1—9 rest. **G** λύκος μέγας τις τῶν λύκων cτρατηγήcας Schneidewin λύκος ἐcτρατήγει τις μέγας λύκων ἄλλων Eberhard 2b—5 ἵν' ὅτι τις αὐτῶν δηποτοῦν κυνηγήcῃ Εἰς μέccον ἀγάγῃ τοῖς τε πᾶcι μοιράcῃ. Ταῦτ' οὖν ἀκούcας ὄνος ἔcειcε τὴν χαίτην Schneidewin **C** 235 potissimum secutus 6 καλῶς ἔλεξας, ὦ λύκων δυναcτεύων (τυραννεύων Eberhard) Schneidewin 8 κόμιcον cὺ ταύτην τοῖς ὅλοις μεριcθῆναι Eberhard epim. = **B** promyth. ὁ μῦθος δηλοῖ ὅτι **F C** δικαίως om. **F C** καὶ om. **F C** ἂν ὁρίζωcι καὶ δικάζωcιν **F C**

**153** **B** 87 (Knoell p. 163, Eberhard Anal. Babr. p. 187, 10) Λέγουσι πρῶτον τὰ ζῷα πλαcθῆναι καὶ χαριcθῆναι αὐτοῖς παρὰ θεοῦ τῷ μὲν ἀλκήν, τῷ δὲ τάχος, τῷ δὲ πτερά. τὸν δὲ ἄνθρωπον γυμνὸν ἑcτῶτα εἰπεῖν· 'ἐμὲ μόνον καταλιπεῖν (κατέλιπες? Knoell) ἔρημον χάριτος.' τὸν δὲ Δία εἰπεῖν· 'ἀνεπαιcθήτως εἶ τῆς δωρεᾶς καίτοι τοῦ μεγίcτου τετυχηκώς· λόγον γὰρ ἔχεις λαβών, ὃς παρὰ θεοῖς δύναται καὶ παρὰ ἀνθρώποις τῶν δυνατῶν δυνατώτερος καὶ τῶν ταχίcτων ταχύτερος.' καὶ τότε ἐπιγνοὺς τὸ δῶρον ὁ ἄνθρωπος προcκυνήcας καὶ εὐχαριcτήcας ᾤχετο. **B** — 1—12 rest. **G** 1 πρῶτον λέγουσι ζῷα ? an τὰ ζῷα πρῶτόν ποτε λέγουσι πλαcθῆναι ? Eberhard 2 . . . καὶ χαριcθῆναι Knoell 4 ἑcτῶτα γυμνὸν εἰπεῖν Knoell 6 ἔχεις **G** ex promyth.] ἔχεις ? Eberhard

δώρου, μεγίστου καίπερ ἐξ ἐμοῦ κύρςας.
⟨τὸν⟩ λόγον ἔχεις γὰρ ⟨ἐκπρεπὲς⟩ λαβὼν ⟨δῶρον⟩,
ὃς δυνατὸς ἐν θεοῖςι καὶ παρ' ἀνθρώποις,
θάςςων ταχίςτων, τῶν καλῶν δὲ καλλίων.'
χἄνθρωπος ἐπιγνοὺς τότε τό ⟨τοῦ Διὸς⟩ δῶρον
προςέκυςςεν ⟨αὐτὸν⟩ κῴχετ' εὐχαριςτήςας.

Ὅτι ἐκ θεοῦ λογικῶν τιμηθέντων πάντων ἀνεπαιςθήτως ἔχουςί τινες τῆς τοιαύτης τιμῆς καὶ μᾶλλον ζηλοῦςι τὰ ἀναίςθητα καὶ ἄλογα ζῷα.

## 154

Μίμηλον ἡ πίθηκος ἐπὶ φύςει ζῷον.
ἐπὶ θῖνος οὖν τις τῆς ἁλὸς ⟨καθ⟩εςτῶςα
⟨ὡς⟩ ἐνθάδ' εἶδε γρῖπον ἡλιαςθέντα,
ἄραςα τόνδ' ἐπειρᾶτ' ἐμβαλεῖν βύςςῳ.
εἰλούμενον δὲ δίκτυον ⟨τάχ'⟩ ἐν δείρῃ
μιμῶ καθεῖλκ' εἰς βυςςόν· ἡ δ' ἐκεκράγει·
'μηδεὶς ὃ μή ⟨ποτ'⟩ ἔμαθε μηδὲ ποιείτω.'
[μηδὲν cὺ ποίει μὴ μαθών γε τῇ πείρῃ·
cὺν ἀπειρίῃ γὰρ καὶ κακόν τι προςλήψῃ.]

## 155

Λύκοι ⟨ποτ'⟩ εἶπον κυςί· 'δι' αἰτίην ποίην
οὐχ ὡς ἀδελφοὶ πάνθ' ὁμοφρονεῖθ' ἥμιν;

---

9 δυνατὸς **G** ex iis quae sequuntur in **B** τῶν δυνατῶν δυνατώτερος] δυνατὸς ? Eberhard  παρ' ἀνθρώποις et 12 εὐχαριςτήςας versuum clausulas esse vidit Eberhardus  epim. = **B** promyth.

**154 B** 93 cf. **F** 162 = **C** p. 404 **C** 309$^{1-2}$ Aug. 199 (Eberhard p. 188, 12) Ὅτι μηδεὶς ὃ μὴ ἔμαθε μηδὲ ἐκ πείρας ἔχει πειράτω ποιεῖν· cὺν τῇ ἀπειρίᾳ γὰρ καὶ κακόν τι προςλήψεται. — Μίμηλόν ἐςτι φύςει ζῷον ἡ πίθηκος. μία οὖν ἐπὶ τοῦ αἰγιαλοῦ ἑςτῶςα εἶδεν ἐπὶ τοῦ χείλους τῆς θαλάςςης ἡπλωμένον καὶ ἡλιαζόμενον δίκτυον· τοῦτο ἄραςα ἐπειρᾶτο εἰς βυθὸν βαλεῖν. τὸ δὲ ἐπὶ τοῦ τραχήλου εἰληθὲν εἷλκε τὴν μιμῶ κατὰ τοῦ βυθοῦ. ἡ δ' ἠλάλαζεν ὅτι 'μηδεὶς ὃ μὴ ἔμαθεν μηδὲ ποιείτω.' **B** — 1—9 rest. **G**  7 ὃ μή τις ἔμαθε, τοῦτο μηδὲ ποιείτω Eberhard  [8—9] **G**

**155 B** 102 = **F** 302 = **C** 233 (Eberhard p. 188, 14) Οἱ λύκοι τοῖς κυςὶν εἶπον· 'διὰ τί ὅμοιοι ὄντες ἡμῖν ἐν πᾶςιν οὐχ ὁμοφρονεῖτε ἡμῖν ὡς ἀδελφοί; οὐδὲν γὰρ ὑμῶν (ἡμῶν **B**) διαλλάττομεν πλὴν τῇ γνώμῃ· καὶ ἡμεῖς μὲν ἐλευθερίᾳ cυζῶμεν, ὑμεῖς δὲ τοῖς ἀνθρώποις ὑποκύπτοντες καὶ δουλεύοντες πληγὰς παρ' αὐτῶν ὑπομένετε καὶ κλοιὰ περιτίθεςθε καὶ φυλάττετε τὰ (καὶ τὰ **F C**) πρόβατα. ὅτε δὲ ἐςθίουςιν, μόνα τὰ ὀςτᾶ ὑμῖν ἐπιρρίπτουςιν. ἀλλ' ἐὰν πείθηςθε (πείςηςθε **F C**), πάντα τὰ ποίμνια ἐκδότε ἡμῖν καὶ ἕξομεν (καὶ ἕξομεν om. **F C**) κοινὰ εἰς κόρον ἐςθίοντες.' ὑπήκουςαν (οὖν add. **F C**) πρὸς ταῦτα οἱ κύνες. οἱ δὲ ἔνδον

οὐδὲν γὰρ ὑμῶν διαφερόμεθα πλὴν γνώμῃ.
χἡμεῖς μὲν ⟨αὐτοὶ⟩ βίον ἐλεύθερον ζῶμεν,
ὑμεῖς δὲ δοῦλοι προσκυνάντες ἀνθρώπους
πληγὰς παρ' αὐτῶν ὑπομένοντες ⟨εὐήθεις⟩
καὶ κλοιὰ φύλακες περιτίθεσθε τῶν μήλων·
ῥιπτοῦσι δ' ὀστᾶ μοῦνα τῶν κρεῶν ὕμιν.
ἀλλ' ἢν πίθησθε πάντα ποίμνι' ἐκδοῦναι,
κοίν' ἕξομεν ταῦτ' εἰς κόρον ⟨γε⟩ δειπνοῦντες.'
ὑπήκοοι πρὸς ταῦτα κύνες ἐσελθόντες
διεφθάρησαν ἐν σπέει λύκοις πρῶτοι.
[πατρίδας προδόντων μισθός ἐστι τοιοῦτος.]

## 156

Ὄνυξιν ἄρας αἰετός ⟨τις⟩ ἄρν' ἦχει
τοῖς παισὶ δεῖπνον ⟨εἰς νεοττιὴν πέτρης.⟩
ποιεῖν δὲ ταὐτὸ ⟨καὶ⟩ κολοιὸς ὡρμήθη
καὶ δὴ καταπτὰς ἐκρατεῖτο μαλλοῖσιν.
ὡς δ' ᾔκισαν τίλλοντες αὐτὸν οἱ παῖδες,
κολοιὸς εἶπε· '⟨ταῦτα⟩ σὺν δίκῃ πάσχω·
τί γὰρ αἰετὸν κολοιὸς ὢν ἐμιμούμην.'
[τὰ κατὰ σὲ ποιῇς, ὅ τι δ' ὑπὲρ σὲ μὴ ζήλου.]

## 157

Ὅτε δρῦς ἔφυεν ἰξόν, ὄρνεων λώβην,
τοῦθ' ἡ χελιδὼν εἶπε πᾶσι κωλύσειν.

---

τῶν σπηλαίων (τοῦ σπηλαίου εἰσελθόντες **F C**) πρότερον τοὺς κύνας διέφθειραν. **B F C** — 1—12 rest. **G** 3 οὐδὲν γὰρ ὑμῶν .. τῇ γνώμῃ ? Eberhard [13] rest. **G**] ὅτι οἱ (οἱ om. **F C**) τὰς ἑαυτῶν πατρίδας προδιδόντες τοιούτους μισθοὺς λαμβάνουσιν **B** (promyth.) **F C**

**156** = **B** 110 (**F** 3 = **C** p. 370 = **C** 203[1] = Aug. 2 valde differunt; **C** 203[2—4] nimis decurtatae sunt). Ὅτι τὰ κατὰ σὲ καὶ πρὸς δύναμιν ποίει, τὰ ὑπὲρ σὲ δὲ μὴ ζήλου. — Ὄνυξιν ἄρας ἀετὸς ἄρνα ἤγαγεν τοῖς παισὶ δεῖπνον. ταὐτὸ δὲ ποιῆσαι κολοιὸς ὡρμήθη· καὶ δὴ καταπτὰς ἐπὶ ἄρνα ἐκρατήθη τοῖς μαλλοῖς. οἱ δὲ παῖδες τοῦτον κρατήσαντες ᾔκιζον. ὁ δὲ κολοιὸς ἔφη· 'δίκαια πάσχω· τί γὰρ κολοιὸς ὢν ἀετὸν ἐμιμούμην. **B** — 1—[8] rest. **G**

**157** **B** 114 cf. Aug. 39 **F** 327 = **C** 285, ex quibus fab. Aug. verborum prolixitate, ceterae argumento a **B** differunt (Eberhard p. 188, 17) Ὅτε δρῦς ἰξὸν ἔφυε βλάβην ὄρνεων, ἡ φρονιμωτάτη χελιδὼν εἶπε πᾶσιν ὀρνέοις τοῦτο κωλύσειν. τὰ δὲ ὡς οὐδὲν φρονοῦσαν ταύτην παρελογίσαντο καὶ ἠμέλησαν. τότε ἡ χελιδὼν ἱκέτευσε τοὺς ἀνθρώπους σύνοικον αὐτὴν εἰσδέξασθαι. διὰ τοῦτο μόνης αὐτῆς τοῖς πτεροῖς ἰξὸς οὐδέποτε ἐκολλήθη. **B** — 1 rest. Eberhard 2 φρονιμὴ χελιδών εἶπε πᾶσι κωλῦσαι Eberhard

τὰ δ᾽ ὡς φρονοῦcαν οὐδὲν ἠμέλει ταύτην.
τότε δὴ χελιδὼν ἱκέτευcεν ἀνθρώπους
cύνοικον αὐτὴν προcλαβεῖν· μόνηc οὕτωc
αὐτῆc πτεροῖcιν ἰξὸc οὐκ ἐκολλήθη.

Ὁ λόγοc δηλοῖ, ὅτι οἱ τὰ μέλλοντα προορώμενοι εἰκότωc τοὺc κινδύνουc διακρούονται.

## 158

Οὔπω κολυμβᾶν ⟨τίc⟩ ποτ᾽ ⟨ἐκ⟩μαθὼν μεῖραξ
ποταμὸν διειδῆ καὶ καλὸν θεωρήcαc
ἔρριψεν αὑτὸν γυμνὸν ὡc κολυμβήcων·
τὸ ῥεῦμα δ᾽ αὐτὸν καὶ τὸ βένθοc οὐκ εἴα.
ἰδὼν δὲ βουκολοῦντά τιν᾽ ἐπιφωνήcαc
‘ἀπὸ θινὸc᾽ εἶπε ‘μοι πρότεινε τὰc χεῖραc.᾽
ὁ δ᾽ ‘εἶ᾽ λέγων ‘τολμηρόc᾽ οὐ διδοῖ χεῖρα.
μεῖραξ δ᾽ ‘ἐὰν νῦν᾽ εἶπε ‘μοὶ βοηθήcῃc,
cωθέντ᾽ ἐλέγχειν καιρὸν ὕcτερον cχήcειc.᾽
[δεῖ πάντ᾽ ἀπείρωc ἐμπεcόντα κινδύνοιc
cώζειν πρότερον, ἔπειτα νουθετεῖν μέμψει.]

---

3—4 rest. Eberhard, nisi quod habet ἱκέτευεν  ‘utique fabula extrema valde decurtata est᾽ Eberhard  5 προcλαβεῖν et οὕτωc **G**] οἱ δ᾽ ἀποδεξάμενοι αὐτὴν ἐπὶ τῇ cυνέcει καὶ cύνοικον αὐτοῖc προcλαβόμενοι οὕτω cυνέβη .... μόνην δὲ τὴν χελιδόνα ὡc πρόcφυγον καὶ ἐν ταῖc αὐτῶν οἰκίαιc ἀδεῶc νεοττοποιεῖcθαι Aug.  epim. Aug.] ὅμοιον (praecedit fabula βάτραχοc ἰατρόc) **B** promyth.

**158** **B** 115 **F** 167 = **C** p. 404 = **C** 310[1] = Aug. 207 **C** 310[2] Οὔπω κολυμβᾶν μειράκιον μαθὸν ποταμὸν διειδῆ καὶ καλὸν θεωρῆcαν ἔρριψεν ἑαυτὸν γυμνὸν ὡc κολυμβήcων. τὸ ῥεῦμα δὲ αὐτὸ καὶ τὸ βάθοc οὐκ εἴα cτῆναι. τὸ δὲ βουκόλον ἐφώνει ἀπὸ τῆc ὄχθηc τὰc χεῖραc ἐκτείνειν. ὁ δὲ τολμηρὸν ἐκάλει καὶ οὐκ ἐδίδου χεῖρα. τὸ δὲ εἶπεν· ‘ἄρτι μοι βοήθει· ἕξειc δὲ καιρὸν ἐλέγχειν ὅτε cώcειc με.᾽ **B** Παῖc ποτε (ποτε om. **C**[1]) λουόμενοc ἔν τινι (τινι om. **C**[1]) ποταμῷ ἐκινδύνευcεν ἀποπνιγῆναι (ἐκινδύνευε πνιγῆναι **C**[1]). ἰδὼν δὲ ὁδοιπόρον (καὶ ἰδών τινα παροδίτην **C**[1]) τοῦτον ἐπὶ βοηθείᾳ ἐκάλει (τοῦτον ἐπὶ βοήθειαν ἐφώνει Aug. ἐπεφώνει ‘βοήθηcον᾽ **C**[1]) ὁ δὲ ἐμέμφετο τῷ παιδὶ (τὸν παῖδα Aug.) ὡc τολμηρῷ (ὡc τολμηρὸν Aug. τολμηρίαν **C**[1]). τὸ δὲ μειράκιον εἶπε πρὸc αὐτόν (τὸ δὲ παιδίον εἶπεν **C**[1])· ‘ἀλλὰ νῦν μοι (μοι om. Aug.) βοήθει (βοήθηcον **C**[1]), ὕcτερον δὲ cωθέντι (cωθέντα **C**[1] μοι add. Aug.) μέμφου (μέμψῃ **F**) **F** **C**[1] Aug. — 1—[11] rest. **G**  [10—11] ὅτι τοὺc ἐν κινδύνοιc ἀπείρωc ἐμπεcόνταc δεῖ πρότερον cώζειν, ἔπειτα διδάcκειν καὶ νουθετεῖν **B** promyth.  ὁ λόγοc εἴρηται πρὸc τοὺc ἀφορμὰc καθ᾽ ἑαυτῶν διδόνταc ἀδικεῖcθαι **F** Aug. quod epimythium huc non pertinere nemo non videt. in eo quod **C**[1] habet: ὁ μῦθοc δηλοῖ τοῦτο ‘μὴ μέμφου πλὴν ἐλέηcον᾽ clausula epimythii dactylici latere videtur

## 159

Οὔπω χαλινὸν ἵππος εἶδε κοὐ νῶτον
⟨οὔπω⟩ παρεῖχε πρὸς καθέδριον ἀνθρώπῳ.
cῦc δ' αὐτὸν ἄγριος, ἣν ἐνέμετο, τὴν χλοίην
ἔβλαπτε κόπτων κἀτάραccε τὴν κρήνην.
πρὸς ἄμυναν ἵππος οὖν cυὸc διηγέρθη
κἄcπειcτο φιλίην ποικίλῳ cὺν ἀνθρώπῳ.
ὁ δέ 'πρὸς τὸν ἐχθρόν' εἶπε 'cοὶ βοηθήcω·
πίcτωθι δ' ὅρκοις ἃν λέγω cε ποιήcειν.'
ἵππος δ' ἐπείθετ'· 'οὐκ ἄν' ὅδε 'δυνηθείην
ὢν πεζός' εἶπεν 'ἐπικρατεῖν ἐγὼ τούτου·
δέξαι χαλινὸν καί με βάcταcον νώτοις,
ὅπως cε κάμψω καὶ τρέχοντα κωλύcω,
καὶ προcδοκῶ cῦν εὐκόλως ἀναιρήcειν.'
φρένας δ' ὑπ' ὀργῆc ἵππος ὡc ἐτυφλώθη,
ὑπὸ τοῦ δοκοῦντος ὠφελεῖν ἐχειρώθη.
[δουλοῦν ὁ θυμὸς οἶδεν ἄνδρα γενναῖον.]

## 160

Ὄφις γεωργοῦ πρὸς θύραιcι φωλεύων
ἀνεῖλεν αὐτοῦ παῖδα νήπιον τύψας·

---

**159 B** 117 cf. **C** $313^{1-4}$ quae omnes, et **C** $^{1-3}$ et **C** $^{4}$ (tetrastichon), valde ab hac fabula differunt (Knoell 'Neue Babrianische Fabeln' Zeitschr. f. d. oest. Gymn. 1876 p. 164) Ὅτι θυμὸς οἶδεν δουλῶcαι καὶ ταπεινῶcαι ἄνδρα γενναῖον [καὶ πρὸς ἄμυναν γενέcθαι τοῦ ἠδικηκότος]. — Οὔπω χαλινὸν ἵππος ᾔδει οὐδὲ νῶτον ἀνθρώπῳ παρεῖχε πρὸς καθέδραν. cῦc δὲ αὐτὸν ἄγριος ἔβλαπτε τὴν χλόην ἣν ἐνέμετο κόπτων καὶ κατορύccων καὶ τὸ ὕδωρ ταράccων, ἔνθα ἔπινε. διὰ τοῦτο ὅμορος ἵππος πρὸς ἄμυναν τοῦ ἠδικηκότος cυὸc διεγερθεὶc φιλίαν ἐcπείcατο μετὰ ἀνδρὸς ποικίλου, βοηθεῖν δὲ ἔλεγεν αὐτῷ καὶ ἐκδικήcειν κατὰ τοῦ βλάπτοντος ἐχθροῦ. ὁ δὲ εἶπεν 'ὅρκῳ πίcτωcόν με ὃ λέγω cοι ποιήcειν.' ὁ δὲ ἵππος ἐπείcθη. ὁ δὲ εἶπεν· 'οὐ δυνατόν με πεζὸν ὄντα καταπολεμῆcαι τοῦτον· ἀλλ' ἐὰν χαλινὸν δέξῃ καί με (με add. Hartel) τοῖc νώτοιc cου βαcτάcῃc καὶ δῷc ὅπως cε κάμπτω καὶ τρέχοντα κωλύω, ἐλπίζω τότε τὸν cῦν εὐκόλως ἀναιρήcειν.' ὁ δὲ ἵππος ὑπὸ ὀργῆc τὰc φρέναc τυφλωθεὶc παρέδωκεν ἑαυτὸν καὶ ὑπὸ τοῦ δοκοῦντος ὠφελεῖν ἐχειρώθη **B** Ἤριζεν ἵππος ἀγριωτάτῳ κάπρῳ. Ὁρμὴν δὲ θηρὸς ἵππος οὐ cθένων ὅλως Ἑαυτὸν ἐκδέδωκεν εὑρὼν cύμμαχον Ἔμπειρον ἄνδρα πρὸς cφαγὴν τοῦ θηρίου. — Ὅτι δι' ἔχθραν τινὲc καὶ εἰc δουλείαν ἑαυτοὺc ἐμβάλλουcιν. **C** $^{4}$ — 1—11 rest. **G** 12 et 15 integros in **B** exstare vidit **K** 12 κάμψω et κωλύcω **G**] κάμπτω et κωλύω **B** 13 rest. **G**] δοκῶ γε τὸν cῦν εὐκόλως ἀναιρήcειν ? **K** qui pro v. 11 duos exstitisse versus suspicatur, mutilos illos in **B** priorem fine (ἀλλ' ἂν χαλινὸν δέξῃ .... cum vitio metri), alterum initio (...καί με βαcτάcῃc νώτοιc) 13 et [16] rest. **G**

**160** 118 **B** = **C** $141^{1-2}$ **F** 155 = **C** p. 338 Eberhard 153 Ὄφις ἐν γεωργοῦ προθύροιc φωλεύων ἀνεῖλεν αὐτοῦ παῖδα νήπιον (τὸ νήπιον

πένθος δὲ μέγα γονεῦςι τοῦδ᾽ ἐγεννήθη.
ὁ πατὴρ δὲ ⟨παῖδος⟩ πέλεκυν ἔλαβεν ἀλγήσας
τὸν ὄφιν πατάξων ἐξιόντα τῆς τρώγλης.
ὁ δὲ κεφαλὴν ὡς ἐξέκυψε ⟨θηρεύσων⟩,
σπεύσας γεωργὸς ἠστόχησε τοῦ πλῆξαι,
πέτρην δὲ μούνην τῆς ὀπῆς διαθραύσας
ἀπῆλθε νομίσας 'μῆνιν οὐχὶ τηρήσει.'
τὸν δ᾽ ἅλσὶν ἄρτῳ τ᾽ ἐκάλεσεν πρὸς εἰρήνην·
ὄφις δὲ λεπτὸν εἶπε συρίσας· 'ἥμιν
οὐκ ἔστ᾽ ἀπάρτι πίστις, ὅσον ἐγὼ ταύτην
πέτρην θεωρῶ καὶ σὺ παιδίου τύμβον.'
[οὐδεὶς ἂν οὔποτ᾽ ἐπιλάθοιτο τοῦ μίσους,
ἐφ᾽ ὅσον βλέπει μνημόσυνον ὧν ἐλυπήθη.]

## 161

Παῖς ⟨ποτε⟩ νέμων τις μῆλα συνεχὲς εἰς χῶμα
ἀνῆλθεν ⟨'ὁ⟩λύκος' ἀναβοῶν 'βοηθεῖτε'·
τοῖς δ᾽ ἀγρόταις τρέχουσιν εὑρέθη ψεῦσμα.
ὡς δὲ λύκος ὄντως ἦλθε, τοῦδε φωνοῦντος

---

παιδίον **C**) τύψας (om. **C**). πένθος δὲ μέγα τοῖς γονεῦσιν ἐγένετο (μέγα hic habet **C**). ὁ πατὴρ δὲ πληγεὶς (καὶ ὁ πατὴρ om. πληγεὶς **C**) ὑπὸ τῆς λύπης πέλεκυν λαβὼν ἔμελλε τὸν ὄφιν τῆς τρώγλης ἐξιόντα πατάξειν (ὄφιν ἐξελθόντα φονεῦσαι **C**). ὡς δὲ ἐξέκυψε (ἔκυψε **C**) μικρόν, σπεύσας ὁ γεωργὸς τοῦ πλῆξαι (πατάξαι αὐτὸν **C**) ἠστόχησε· τὴν πέτραν δὲ μόνην τῆς ὀπῆς κρούσας καὶ διαχαράξας (μόνον κρούσας τὴν τῆς τρώγλης ὀπὴν **C**) ἀπῆλθε λογιζόμενος ὡς ἑρπετὸν μῆνιν οὐ φυλάσσει. (ἀπελθόντος δὲ τοῦ ὄφεως ὁ γεωργὸς νομίσας τὸν ὄφιν μηκέτι μνησικακεῖν, **C**) λαβὼν δὲ (δὲ om. **C**) ἄρτον καὶ ἅλας πρὸς εἰρήνην ἐκάλει τὸν ὄφιν (ἅλας ἔθηκεν ἐν τῇ τρώγλῃ **C**). ὁ δὲ ὄφις λεπτὸν συρίσας (συρίξας **C**) εἶπεν· 'οὐκ ἔστιν (ἔσται **C**) ἡμῖν ἀπάρτι πίστις ἢ φιλία, ἕως ἂν ἐγὼ ταύτην (ταύτην om. **C**) τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τοῦ παῖδος τάφον (τὸν τύμβον τοῦ τέκνου **C**) — Ὅτι (ὁ μῦθος δηλοῖ ὅτι **C**) οὐδεὶς ἂν (ἂν om. **C**) μίσους ἢ ἀμύνης ποτὲ (ποτὲ om. **C**) ἐπιλάθοιτο (ἐπιλανθάνεται **C**), ἐφ᾽ ὅσον βλέπει μνημόσυνον δι᾽ ὧν (οὗ **C**) ἐλυπήθη. **B C**[1] Ὄφιν θέλων τις ἀντ᾽ ὀλέθρου παιδίου Πλήττειν, πέτραν τ᾽ ἔσχισε καὶ φιλεῖν θέλεν. Ὄφις δέ φησι, 'πῶς γένοιντο συμβάσεις, Ἕως συ τύμβον τόνδ᾽, ἐγὼ πέτραν βλέπω;' **C**[2] — 1 rest. Baiter 2 rest. Zuendel 'Rhein. Mus.' V, 640 3—[15] rest. **G** 10—11 ἅλας λαβὼν ἔθηκε κἄρτον ἐν τρώγλῃ κἀκεῖνος αὐτῷ λεπτὸν εἶπε συρίξας Eberhard 12—13 ἕως συ τύμβον τόνδ᾽, ἐγὼ δ᾽ ὁρῶ πέτρην Eberhard secutus tetrastichon

**161** **B**120 **F**166 = **C** p. 395 **C**266 (Eberhard Anal. Babr. p. 180, 16) Παῖς τις νέμων πρόβατα συνεχῶς ἐπὶ τὸ χῶμα ἀνιὼν ἐβόα· 'λύκος· βοηθεῖτε.' οἱ δὲ ἀγρόται τρέχοντες ἐκεῖσε εὕρισκον ψεῦσμα. τοῦ δὲ λύκου ἀληθῶς ἐλθόντος καὶ τοῦ παιδὸς βοῶντος οὐδεὶς ἐπίστευσε καὶ ἀπῆλθε πρὸς βοήθειαν. ὁ δὲ λύκος τὰ πρόβατα διέφθειρε. **B** — 1—6 rest. **G** 3 οἱ δ᾽ ἀγρόται τρέχοντες... Eberhard

οὐδεὶc ἐπίcτευc' οὐδὲ προcδραμὼν ἤρκει·
ἔφθειρε δ' ὁ λύκοc πᾶcαν εὐκόλωc ποίμνην.

Ὅτι τοῦτο ὄφελοc τῷ ψεύcτῃ, ἵνα, κἂν ἀλήθειαν λέγῃ, μὴ πιcτεύηται.

## 162

Πηρὸν cπάλαξ καὶ τυφλόν ἐcτί ⟨τι⟩ ζῷον.
τὴν μητέρ' οὖν τιc καταφιλεῖν ἐβουλήθη,
ἀλλ' ἀντὶ cτόματοc τῆcδ' ἐφήψατ' αἰδοίῳ.
ποιῶν δ' ἀδελφοὺc οὐδὲν ἔλαθε τοὺc ἄλλουc.
εἷc δ' εἶπεν αὐτῶν 'ὡc θέλων τι ποιῆcαι
μέγα, καὶ πνοῆc ἧc εἶχεc ἂν cτερηθείηc.'
[γνώμη πονηρὰ καὶ φύcιν μεταλλάττει.]

## 163

Πέρδικα θύειν τίc ⟨ποτ'⟩ ἔθελε θηρεύcαc.
ὁ δ' ἱκέτηc 'ἔαcον' ἔλεγε 'μὲ ζώειν
ἄλλουc τε πολλοὺc ἀντ' ἐμοῦ κυνηγήcω.'
ὁ δ' 'αὐτὸ τοῦτο μᾶλλον' εἶπε 'cὲ cφάξω
ὅτι τοὺc cυνήθειc coι θέλειc ἐνεδρεῦcαι.'
[δόλιον κατὰ φίλων μηχάνημα cυνθέντεc
ἐν ταῖc ἐνέδραιc ἐμπεcεῖcθε κινδύνων.]

---

5 οὐκέτι τιc ἐπίcτευε προcδραμεῖν αὐτῷ καὶ βοηθῆcαι **C** 6 ὁ δὲ λύκοc εὑρηκὼc ἄδειαν τὴν ποίμνην πᾶcαν διέφθειρεν εὐκόλωc **C** epim. = **B** promyth.

**162** **B** 121 cf. **F** 177 = **C** p. 307 = Aug. 210 **C** 51 quae omnes maxime ab hac fabula differunt (Knoell 'Neue Babrianische Fabeln', Zeitschr. f. d. oest. Gymn. 1876 p. 165 Eberhard p. 180, 17) Ὅτι πονηρὰ γνώμη καὶ αὐτὴν φύcιν ἀλλοιοῖ καὶ βλάπτει. — Πηρὸν (em. **K** πικρὸν **B**) ἀcπάλαξ καὶ τυφλὸν ζῷον. εἷc οὖν τὴν μητέρα θέλων φιλῆcαι ἀντὶ τοῦ cτόματοc τῷ αἰδοίῳ προcψαύει. τοῦτο δὲ ποιῶν τοὺc ἄλλουc ἀδελφοὺc οὐκ ἔλαθεν. εἷc δὲ αὐτῶν εἶπεν· 'ὡc θέλων τι μέγα ποιῆcαι καὶ πνοῆc ἧc εἶχεc ἐcτέρηcαι δικαίωc' **B** — 1—6 rest. **G** 1 cπάλαξ (ἔcτι δὲ τοῦτο τὸ ζῷον τυφλόν) **F** [7] rest. Eberhard

**163** **B** 122 = **C** 164[1] **F** 172 = **C** p. 353 **C** 164[2] Eberhard 167 Πέρδικά τιc θηρεύcαc ἤμελλε cφάξαι. ἡ δὲ ἱκέτευε λέγουcα 'ἔαcόν με ζῆν καὶ (καὶ om. **C**[1]) ἀντ' ἐμοῦ πολλὰc πέρδικαc ἐγώ coι κυνηγήcω' ὁ δὲ εἶπεν 'δι' αὐτὸ τοῦτο μᾶλλον cε θύcω, ὅτι τοὺc cυνήθειc καὶ φίλουc coι ἐνεδρεῦcαι θέλειc.' **B C**[1] — 1—4 rest. **G** 2—4 Ὁ δ' αὐτὸν οὕτωc ἱκέτευε φωνήcαc· 'Ζῴειν μ' ἔαcον' εἶπεν, 'ἀλλὰ coι πλείcτουc Πέρδικαc ἄλλουc ἀντ' ἐμοῦ κυνηγήcω'.. ,Θύcω cε' φηcίν 'αὐτὸ τοῦτο καὶ μᾶλλον Eberhard 5 rest. Eberhard [6—8] rest. **G**] Ὅτι ὁ κατὰ φίλων αὐτοῦ (αὑτοῦ **C**) δολίαc μηχανὰc (δολίωc μηχανὴν **C**) cυντιθεὶc αὐτὸc ἐν ταῖc ἐνέδραιc τῶν κινδύνων ἐμπεcεῖται. **B C**[1]

## 164

Ποιμὴν ἀνέτρεφε cκύλακα τοῖc κενεβρείοιc.
καὶ δήποτ' ἐγγὺc ἀμνάδοc νοcηcάcηc
ἰδὼν κατηφῆ καὶ δοκοῦντα δακρύειν
ὠμάλιcεν εἰπών '⟨παγ⟩κάλωc cὺ cυμπάcχειc·
πλὴν ἀλλὰ μὴ γένοιτο μηδὲ cυμβαίη
ὃ θέλειc cὺ τούτοιc, ἐπὶ δὲ κρατί cου πίπτοι.'
[πᾶc οὐcίαc κληρονόμοc ἐcτὶ τοιοῦτοc,
νοcοῦντι προcποιούμενοc cυναλγῆcαι.]

## 165

Ποταμὸc δι' αὑτοῦ φερομένην βοὸc βύρcαν
ὡc εἶδεν, αὐτήν 'τίc καλεῖ ποτ'' ἠρώτα.
ταύτηc δ' 'ἐμοὶ τό ⟨γ'⟩ ὄνομα δέρριc' εἰπούcηc
ἐπικαχλάcαc ῥεῦμ' εἶπεν 'ἄλλο τι ζήτει·
ἁπαλὴν γὰρ ἤδη ῥίμφ' ἐγώ cε ποιήcω.'
[τὸν ἄνδρα θραcυλογοῦντα καὶ τὸν αὐθάδη
εἰc γῆν κατῆγε πολλάκιc βίου πτῶμα.]

---

**164** **B** 123 = **C** 272$^2$ **F** 318 = **C** 272$^1$ = Aug. 202 Eberhard 134. Ποιμὴν cκύλακα εἴωθε τρέφειν ἐκ τῶν θνηcκόντων προβάτων. καὶ δή ποτε ἐγγὺc ἀμνάδοc νοcούcηc ἱcτάμενοc (ἱcτάμενον **C**$^2$) εἶδε τὸν κύνα κατηφῆ καὶ δοκοῦντα δακρύειν· καὶ ὁμαλίζων αὐτὸν εἶπε· καλῶc ποιεῖc cυμπαθῶν, πλὴν ἀλλὰ μὴ γένοιτο μηδὲ cυμβαίη (em. **K** γένηται et cυμβῇ **BC**$^2$), ὅπερ θέλειc **BC**$^2$ — 1 rest. **G**] ποιμὴν cκύλακά τιc ἔτρεφ' ἐκ κενεβρείων Haupt ποιμὴν ἔχων κύνα παμμεγέθη τούτῳ εἰώθει τὰ ἔμβρυα καὶ τὰ ἀποθνήcκοντα τῶν προβάτων παραβάλλειν **FC**$^1$ Aug. 2—3 rest. Hauptius 4 rest. **G**] 'καλῶc cὺ cυμπαθεῖc' ἔφη καταψήχων Haupt 5—6 rest. **G**] 'ἀλλ' ὦ οὗτοc· ὃ θέλειc cὺ τούτοιc ἐπὶ τῇ cῇ κεφαλῇ γένοιτο **FC**$^1$ Aug. ὃ θέλειc δὲ μὴ γένοιτο μηδὲ cυμβαίη Haupt [7—8] rest. **G**] Ὅτι τοιοῦτόc ἐcτι πᾶc, ὃc κληρονόμοc ἐcτὶν οὐcίαc, τῷ νοcοῦντι cυναλγῶν καὶ προcποιούμενοc κλαίειν ὑπούλωc **B** promyth. ὅτι τοιοῦτοc πᾶc ἐcτιν ὃc κληρονόμοc ἐcτίν **C**$^2$

**165** **B** 124 **F** 422 = **C** 341 Eberhard 135 (Haupt, Hermes VII, 179) Ὅτι τολμηρὸν ἄνδρα καὶ αὐθάδη (Knoell τολμηρῶν ἀνδρῶν καὶ αὐθαδῶν **B**) πολλάκιc εἰc γῆν κατήγαγε cυμφορὰ βίου (epim. deest in **F**). — Ποταμὸc δι' αὑτοῦ (αὐτοῦ **F**) βύρcαν βοείαν (βοείαν om. **F**) φερομένην (ἰδὼν add. **F**) ἠρώτηcε· 'τίc καλεῖ;' (ἠρώτηcε τίc καλεῖται. **F**) τῆc δὲ εἰπούcηc 'cκληρὰ καλοῦμαι' (ἡ δὲ εἶπε 'Ξηρά. **F**) ἐπικαχλάcαc (δὲ add. **F**) τῷ ῥεύματι εἶπεν· 'ἄλλο τι ζήτει καλεῖcθαι· ἐγὼ γὰρ ἤδη ἁπαλήν cε ποιήcω.' (ἁπαλὴν γὰρ ἐγὼ ἤδη ταχὺ ποιήcω cε. **F**) **BF** — 1—5 rest. **G**] Ποταμὸc δι' αὑτοῦ φερομένην ἰδὼν βύρcαν Τί καλοῖτ' ἐπηρώτηcεν· ἡ δ' ἔφη 'δέρριc.' Ἐπικαχλάcαc δ' ἔφηcεν 'ἄλλο τι ζήτει· Ἤδη γὰρ ἁπαλὴν ταχύ c' ἔγωγε ποιήcω' Haupt; 'fabula dum contrahitur deterior facta' Eberhard [6—7] rest. **G**

## 166

Ποταμοῦ σύνεγγυς ἄμπελος καθειστήκει·
αὕτη δὲ παλιούροισι κυκλόσ᾽ ἐφράχθη.
ποταμὸς μίην οὖν ἐξέσυρε πλημμύρας·
ταῖς φυλλίσιν δὲ καὶ δράκων συνεπλέχθη.
ὃν ἰδὼν φερόμενον μέγα γελῶν τις εἰρήκει
ʻκακὴ μὲν ἡ ναῦς, ἀξίη δὲ τοῦ ναύτου.᾽
[κακοὶ δικαίως σὺν κακοῖς τελευτῶσιν.]

## 167

Πολεμοῦντες ⟨οἱ μὲν⟩ βάτραχοι πρὸς ἀλλήλους
δοῦναι ἑαυτοῖς Ζῆνα βασιλέ᾽ ᾐτοῦντο.
δοκὸν δὲ ῥίψας Ζεύς ⟨τιν᾽⟩ εἰς μέσον λίμνης
ἐτάραξεν ὕδωρ· τοὺς δὲ βατράχους πάντας
σιγῇ κατέσχεν ἐκπλαγέντας ⟨ἠχήσει⟩.
ξύλου δ᾽ ἔχοντος σύνεχες οὖν ἀκινήτως

---

**166** **B** 125 **C** 183$^{2}$ **F** 270 = **C** 183$^{1}$ = Aug. 97 Eberhard 151 Ὅτι δικαίως κακοὶ σὺν κακοῖς ἀπόλλυνται. — Ποταμοῦ πλησίον ἄμπελος ἦν· φραγμὸς δὲ ἦν αὐτῇ παλίουροι. πλημμύρας δὲ ὁ ποταμὸς ἐξέσυρε παλίουρον. συνέβη δὲ δράκοντα ταῖς φυλλίσι (Knoell; φωλίσι cod.) συμπλακέντα τῇ παλιούρῳ φέρεσθαι. εἶπε δέ τις ἰδὼν ʻκακὴ μὲν ἡ ναῦς, ἀξία δὲ τοῦ ναύτου.᾽ **B** Καί τις ἄμπελος πλησίον εἶχε ποταμοῦ τὸν φραγμόν. τοῦ δὲ ποταμοῦ ἐξ ὄμβρων φυσηθέντος ἦρε τὸν φραγμὸν καὶ καθελὼν ἀπῄει. τῇ δὲ παλιούρῳ δράκων τις συνεπλάκη, ὃς ἐφέρετο τοῦ ποταμοῦ ἐν μέσῳ. καί τις κατιδὼν ἔφη γελάσας μέγα ʻἡ μὲν ναῦς κακή, ἀξία δὲ τοῦ ναύτου.᾽ — ὁ μῦθος δηλοῖ ὅτι δικαίως οἱ κακοὶ σὺν κακοῖς ἀπόλλυνται. **C**$^{2}$ — 1—5 rest. **G** 3 ποταμοῦ δὲ φυσηθέντος ⟨ἄκρον⟩ ἐξ ὄμβρων Ὁ φραγμὸς ἤρθη? Eberhardus duce **C**$^{2}$ 6 **B**] choliambum ex **C**$^{2}$ iam exsculpserat Schneidewinus [8] rest. Bergerus, uncos adposuit Eberhardus

**167** **B** 126 **C** 167$^{3}$ (Eberhard Anal. Babr. 189, 18) cf. fabulam eiusdem argumenti iambicam. Ὅτι πολλοὶ φεύγοντες δουλεύειν εἰρηνικοῖς δεσπόταις καὶ ἄκοντες εἰς πονηροὺς ἐνέπεσον. — Πόλεμον ἐμφύλιον βάτραχοι πολεμοῦντες ἀλλήλοις ᾐτήσαντο τὸν Δία, βασιλέα δοθῆναι αὐτοῖς τοῦ δι᾽ ἐκείνου τὰ αὐτῶν διοικεῖσθαι. καὶ ξύλου δοκὸν μέσον τῆς λίμνης ῥίψας διετάραξε τὸ ὕδωρ. πάντας δὲ βατράχους σιγῇ κατέσχεν ἐκπλαγέντας. χρόνῳ δέ τινι τοῦ ξύλου ἀκινήτως ὄντος κατεφρόνησαν, ὥστε καὶ ἐπιβάντες ἐπάνωθεν πολεμεῖν ἀλλήλοις. καὶ πάλιν ἐδέοντο τοῦ Διὸς τύραννον ἢ στρατηγὸν λαβεῖν. ὁ δὲ βδελυχθεὶς αὐτοὺς ὕδρον ἔδωκε διαφθείροντα τοὺς βατράχους. **B** Βατράχων ποτὲ πολεμουμένων ἐξῃτήσαντο τὸν Δία ἐπιδοῦναι αὐτοῖς ἄνακτα καὶ ἄρχοντα κατέχειν. ὁ δὲ ἔρριψε μέσον τῆς λίμνης ξύλον· ὃ κατιδόντες σιγὴν βάτραχοι ἔσχον ὡς ἐλπίζοντες αὐτὸ ἄνακτα εἶναι. χρόνου δὲ πολλοῦ παραβεβηκότος ἤδη κατεφρόνησαν οἱ βάτραχοι τοῦ ξύλου διὰ τὸ εἶναι αὐτὸ ἀκίνητον. μετὰ δὲ ταῦτα ἐξῃτοῦντο τὸν Δία ἵνα δώσῃ αὐτοῖς ἕτερον ἄνακτα. ὁ δὲ ἐμμανὴς γενόμενος αὐτίκα ἐπιδέδωκε τὴν ὕδραν βατράχοις. **C** 167$^{3}$ — 1—11 et [12—13] rest. **G** 1 πόλεμόν ποτ᾽ εἶχον βάτραχοι πρὸς ἀλλήλους Eberhard 3—4 ξύλου δὲ λίμνην εἰς μέσην δοκὸν ῥίψας ὕδωρ ταράττει? Eberhard 5 σιγῇ κατέσχεν ἐκπλαγέντας et 10 ὁ δὲ βδελυχθεὶς singulorum versuum initia esse vidit Eberhardus.

κατεφρόνηcαν κἀπιβάντες ἀλλήλοις
κατεπολέμουν· Διὸς δὲ προcεδέοντ' αὖθις
λαβεῖν τύραννον καὶ cτρατηγὸν ⟨ὕcμίνης⟩.
ὁ δὲ βδελυχθεὶς βατράχων ⟨ἁπλοῦν ἦθος⟩
διαφθεροῦcαν ἀντέδωκε τὴν ὕδραν.
[πολλοὶ φυγόντες δεcπότῃcι δουλεύειν
εἰρηνικοῖς ἄκοντες ἐνέπεcον φαύλοις.]

## 168

Ποιμὴν λυκιδέα ⟨τίς ποτ' ὀρφανιcθέντα⟩
εὑρὼν ἐθρέψατ'· εἶτα γενόμενον cκύμνον
ἐδίδαξεν ἐκ τῶν ἐγγὺς ἁρπάcαι μήλων.
ὁ λύκος δ' 'ὅρα μή πως cύ' φηcίν 'ἁρπάζειν
ἐθίcας με τῶν cου πολλὰ πρόβατα ζητήcῃς.'
[φύcει ⟨γε⟩ δεινοὶ ⟨προc⟩μαθόντες ἁρπάζειν
διδαcκάλους φιλοῦcι πολλάκις βλάψαι.]

## 169

Ἥλω ⟨πάγῃ⟩ ποτ' αἰετὸς παρ' ἀνθρώπου,
ὅcτις ⟨γε⟩ τούτου τὰ πτέρ' εὐθέως κόψας
ἀφῆκεν αὐτὸν ὡς cύνοικον ὀρνίθων.
ὁ δ' ὢν κατηφὴς οὐδὲν ἤcθι' ἐκ λύπης

---

11 'ultimum vocabulum fuerit διαφθεῖραι, aptum illud a v. ἔδωκε' Eberhard

168 **B** 127 = **F** 373 = **C** 417 cf. fabulam 144 Ποιμὴν μικρὸν λύκον εὑρὼν ἐθρέψατο· εἶτα cκύμνον γενόμενον ἐδίδαξεν ἁρπάζειν ἐκ τῶν cύνεγγυς ποιμνίων. ὁ λύκος δὲ διδαχθεὶς ἔφη· 'ὅρα μή πως cὺ ἐθίcας με ἁρπάζειν πολλὰ τῶν cεαυτοῦ προβάτων ζητήcῃς.' — Ὅτι (om. **F**) οἱ τῇ φύcει δεινοὶ ἁρπάζειν καὶ πλεονεκτεῖν τοὺς διδάξαντας πολλάκις (πλείω add. **F**) ἔβλαψαν. **BF** — 1—5 et [6—7] rest. **G**

169 **B** 128 **F** 23 = **C** p. 345 **C** 147 Eberhard 166 Ὅτι δεῖ χρηcτὰς ἀμοιβὰς τοῖς εὐεργέταις παρέχειν, τοὺς πονηροὺς δὲ φρονίμως τροποῦcθαι. — Ποτὲ ἀετὸς ἑάλω ὑπ' ἀνθρώπου· τούτου δὲ τὰ πτερὰ ὁ ἄνθρωπος κόψας ἀφῆκε μετὰ τῶν ὀρνίθων ἐν οἴκῳ εἶναι. ὁ δὲ ἦν κατηφὴς οὐδὲ ἤcθιεν ἐκ λύπης· ὅμοιος δὲ ἦν βαcιλεῖ δεcμώτῃ. ἕτερος δέ τις τοῦτον ὠνηcάμενος καὶ τὰ πτερὰ ἀναcπάcας καὶ μύρῳ χρίcας ἐποίηcε πτερῶcαι. ὁ δὲ πεταcθεὶς καὶ τοῖς ὄνυξι λαγωὸν ἁρπάcας ἤνεγκεν αὐτῷ δῶρον. ἀλώπηξ δὲ ἰδοῦcα εἶπεν· 'μὴ τούτῳ δίδου, ἀλλὰ τῷ πρώτῳ, ὅτι ὁ μὲν φύcει ἀγαθός ἐcτιν· ἐκεῖνον δὲ μᾶλλον ἐξευμενίζου, μή πως πάλιν λαβών cε τῶν πτερῶν ἐρημώcῃ.' **B** Ἀετός ποτε ἑάλω ὑπ' ἀνθρώπου, Ὅcτις τὰ πτερὰ αὐτοῦ εὐθέως τίλας (κόψας **C**) Εἴαcεν (εἴαcεν hic om. **C**) αὐτὸν ἐν οἴκῳ cὺν ὄρνιcιν (ὀρνιθίοις εἴαcεν **C**). Ὁ δὲ κατηφὴς ἐκ τῆς λύπης ὑπῆρχεν (ὁ δὲ ἦν κατηφὴς καὶ οὐδὲν ἤcθιεν ἐκ τῆς λύπης· ὅμοιος δὲ ἦν βαcιλεῖ δεcμώτῃ **C**). Ἕτερος δέ τις (τις om. **C**) τοῦτον ἐξαγοράcας Ἀνεπτέρωcε τὸν ἀετὸν αὐτίκα. Ὁ δὲ πεταcθεὶς καὶ λαγωὸν ἁρπάcας (κρατήcας **C**) Ἤνεγκεν εὐθὺς δῶρον τῷ εὐεργέτῃ (τοῦτον add. **C**). Τοῦτο (τοῦτο om. **C**) ἀλώπηξ κατιδοῦcα ἐβόα· 'Μὴ

βαςιλεῖ θ᾽ ὅμοιος ἦν ⟨τὰ πάντα⟩ δεςμώτῃ.
ἕτερός τις ὠνηςάμενος εἶτ᾽ ἀνὴρ τοῦτον
κἀναςπάςας τὰ πτερά ⟨τε⟩ καὶ μύρῳ χρίςας
ἀνέπτερωςεν αἰετὸν ⟨μάλ᾽⟩ ἐξαίφνης.
ὁ δ᾽ ⟨ἐκ⟩πεταςθεὶς τοῖς τ᾽ ὄνυξιν ἁρπάζων
λαγωὸν ἤνεγκ᾽ ἀντίδωρον ἀνθρώπῳ.
κερδὼ δ᾽ ἰδοῦςα ταῦτα ‘μὴ δίδου τούτῳ
(φύςει γὰρ ἀγαθός ἐςτιν), ἀλλὰ τὸν πρῶτον
ἐξευμενίζου μᾶλλον᾽ εἶπε ‘μὴ κεῖνος
πάλιν λαβών ςε τῶν πτερῶν ἐρημώςῃ.᾽
[χρηςτὰς ἀμοιβὰς πάρεχε τοῖς εὐεργέταις,
φρονίμως τροποῦ δὲ τοὺς πονηροὺς ⟨καὶ⟩ κακούς.]

## 170

Ποδῶν χελώνης ⟨τις⟩ λαγωὸς ἦν ςκώπτων·
ἡ δ᾽ εἶπ᾽ ‘ἐγώ ςε τὸν ταχύποδα νικήςω.᾽
ὁ δέ ‚τοῦτο ληρεῖς.‘ ‘ἀλλ᾽ ἔριζε καὶ γνῶθι.᾽

---

τοῦτον cὺ (cὺ om. **C**) ξένιζε, ἀλλὰ τὸν πρῶτον (πρότερον **C**), Μήπως ὁ αὐτός (ὁ αὐτός om. **C**) cε πάλιν κυνηγήςῃ Καὶ αὖθις τὰ πτερὰ τὰ cὰ ἐρημώςῃ (**G**] κατερημώςῃ **F** καὶ τῶν πτερῶν cτερήςῃ τῶν cῶν ὡς καὶ τὸ πρῶτον **C**).
Ὁ μῦθος δηλοῖ ὅτι δεῖ χρηςτὰς ἀμοιβὰς τοῖς εὐεργέταις παρέχειν, τοὺς δὲ κακοὺς ἐκφεύγειν (ἐκκλίνειν **C**) **FC** 147 — 1—14 rest. **G** 5 βαςιλεῖ δ᾽ ὅμοιος . . δεςμώτῃ Eberhard 11—14 μὴ cὺ ξένιζε τοῦτον, ἀλλὰ τὸν πρῶτον, μήπως ς᾽ ἐκεῖνος ἔμπαλιν κυνηγήςῃ Eberhard [15—16] iambos puros rest. **G**

**170** **B** 129 = **C** $287^2$ **F** 173 = **C** p. 398 **C** $287^1$ = Aug. 224 **C** $287^3$ Eberhard 177 Ποδῶν χελώνης κατεγέλα λαγωός (καὶ ἀργίας add. **C**) ἡ δὲ ἔφη· ‘ἐγώ cε τὸν ταχύπουν (ταχὺν ἐν τοῖς ποcὶ **C**) νικήcω.᾽ ὁ δέ ‚λόγῳ μόνῳ (χελώνη add. **C**) λέγεις τοῦτο.‘ ‘ἀλλ᾽ ἔριζε καὶ γνῶθι (γνώςῃ **C**).᾽ ‚τίς δὲ τὸν τόπον ὁρίcει (ὁριεῖ **C**)‘ ἔφη (ἔφη om. **C**) ‚καὶ βραβεύcει τὴν νίκην;‘ (λόγῳ μόνῳ . . . νίκην omnia leporis verba esse putat Knoellius.) ‘ἀλώπηξ᾽ ἔφη ‘ἡ δικαία καὶ cοφωτάτη.᾽ ἔταξε δὲ τὴν ἀρχὴν τῆς ὥρας τοῦ δρόμου (ἀλώπηξ δὲ δικαία καὶ cοφωτάτη ἔταξεν ὁδὸν τῶν δρόμων τὴν εὐθεῖαν **C**). ἡ δὲ χελώνη μὴ ῥαθυμήcαcα ἤρξατο τῆς ὁδοῦ (πρὸς τὸ αὐτῆς ἀφορῶcα δυcκίνητον add. **C**). ὁ δὲ λαγωὸς τοῖς ποcὶ θαρρῶν (θαρρῶν τοῖς ποcὶν **C**) ἐκοιμήθη. ἐλθὼν δὲ (καὶ ἐλθὼν **C**) ἐπὶ τὸν ὡριcμένον τόπον (τοῦ ὡριcμένου τόπου **C**) εὗρε τὴν χελώνην νικήcαcαν (νικῶcαν τὴν βραδεῖαν χελώνην **C**). **BC** $287^2$ Ποδῶν χελώνης λαγωὸς κατεγέλα. Ἡ δὲ πρὸς αὐτὸν ταῦτα γελῶcα ἔφη. ‘Ἐγὼ τὸν ταχύν cε ἐν δρόμῳ νικήcω.᾽ Ὁ δὲ ἔφηcε ταύτην μὴ ἀληθεύειν· ‚Ὅμως [φηcὶν] ἔριζε καὶ γνώςῃ μου τοὺς πόδας.‘ ‘Τίς δὲ τὸν ὅρον προcτάξειεν;᾽ ἀντεφύcηcεν ἡ χελώνη (ἥδ᾽ ἔφη? **G**). ‘Καὶ τὰ τῆς νίκης τίς ἡμῖν ἐπιδώcει;᾽ Τὸ γοῦν φρόνιμον τῶν ζῴων, ἡ ἀλώπηξ, Συνετάξατο τὴν ἀρχὴν καὶ τὸ τέλος Ἅμα τὸν δρόμον καὶ τὸν τόπον δείξαcα. Ἡ οὖν χελώνη μηδόλως κατοκνοῦcα (em. **C** κατοκνήcαcα **F**) Εὐθὺς ὁδεύουcα εἰς τὸν ὅρον ἦλθεν (em. **G** ἀνῆλθεν **FC**). Ὁ δὲ λαγωὸς ποcὶ θαρρῶν ἐφύπνου. Μετὰ δὲ ταῦτα ἐξαναcτὰς τῆς κοίτης Δρομαῖος ἧκεν εἰς τὸν τόπον τοῦ ὅρου, Ὅcτις εὗρε τὴν χελώνην καθυπνοῦcαν (em. **G** ὑπνοῦcαν **FC**) **FC** p. 398 — 1—9 rest. **G** 1 Ποδῶν χελώνης κατεγέλα τε κἀργίης Λαγωὸς . . . Eberhard

‚τόπον τίς ὁρίσει καὶ βραβεῖα τῆς νίκης;‘
ʽκερδῷ δικαίη᾽ φησί ʽκαὶ σοφὴ λίην·
ἀρχὴν δὲ τάξει τοῦ δρόμου τε τὴν ὥρην.᾽
ἡ μὲν χελώνη ῥίμφ᾽ ὁδοιποροῦς᾽ ἦρξεν·
θαρρῶν δὲ ποσὶ λαγωὸς ⟨ἀντ⟩εκοιμήθη,
ἐλθὼν χέλυν δ᾽ ἐντόπιον εὗρε νικῶσαν.

Ὅτι πολλαὶ φύσεις ἀνθρώπων εὐφυεῖς εἰσιν, ἀλλ᾽ ἐκ τῆς ῥαθυμίας ἀπώλοντο· ἐκ δὲ νήψεως καὶ σπουδῆς καὶ μακροθυμίας τινὲς καὶ φύσεως ἀργῆς περιεγένοντο.

## 171

Σάλπιγγος ⟨ἄνθρωπός⟩ τις ἦν ἐπιστήμων
στράτευμα συνάγων πολεμίας ἐς ὑσμίνας.
ὁ δ᾽ αἰχμάλωτος ἱκέτευε μὴ κτείνειν·
ʽοὐδένα φονεύω᾽ φησίν ʽοὐδὲ κουρσεύω·
πλὴν τοῦτο γὰρ τὸ βύκανον οὐδὲν οἶδ᾽ ἄλλο.᾽
οἱ δέ ʽδιὰ τοῦτο᾽ φασίν ʽ⟨αὐτὸ⟩ τεθνήξῃ,
ἄλλους ἐγείρων καὐτὸς οὐδὲν ἰσχύων.᾽

Ὅτι πλεῖον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάστας διεγείροντες πρὸς τὸ κακοποιῆσαι.

## 172

Στικτή ποτ᾽ ηὔχει πάρδαλις φορεῖν ⟨ἄλλων⟩
ζῴων ἁπάντων ποικιλωτέρην δέρριν.

---

8 θαρρῶν δὲ ποσσὶν ὁ δασύπους ἐκοιμήθη? Eberhard  epim. ὁ μῦθος δηλοῖ ὅτι **F**  εἰσὶν εὐφυεῖς **F**  ἐκ ῥαθυμίας καὶ ὄκνου ἀπόλλονται (ἀπόλλυνται **C**) **F**  νήψεως καὶ om. **F**  μακροπονίας πολλοὶ περιεγένοντο τῆς φύσεως **F**  Ὅτι πολλοὶ τῇ μὲν φύσει ἀργοί, τῇ δὲ συντομίᾳ τοὺς φύσει ταχεῖς, ῥαθύμους δέ, νικῶσιν **C** 287[2]

**171** **B** 131 **F** 81 = **C** p. 340 **C** 142[1–2] (Eberhard Anal. Babr. p. 189, 20) Σάλπιγγός τις ἦν ἐπιστήμων στρατὸν συνάγων εἰς συμβολὰς πολέμων. οὗτος αἰχμάλωτος ληφθεὶς ἱκέτευε μὴ κτείνειν αὐτόν, ὡς μήτε τινὰ φονεύοντα μήτε κουρσεύοντα πλὴν τὸ χαλκοῦν τοῦτο βύκανον εἰδέναι. οἱ δὲ εἶπον· ʽδιὰ τοῦτο μᾶλλον τεθνήξῃ, ὅτι σὺ μηδὲν ἰσχύων τοὺς ἄλλους ἐγείρεις.᾽ **B** — 1—7 rest. **G**  1—2 σάλπιγγος ὤν τις ⟨ἐξόχως⟩ ἐπιστήμων Στρατὸν συνῆγεν? Eberhard  3 ἱκέτευε μὴ κτείνειν clausulam versus esse vidit Eberhardus  4—5 ʽ...οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα· πλὴν γὰρ τοῦ χαλκοῦ τούτου οὐδὲν ἄλλο κτῶμαι᾽ **C**[1]  6 τεθνήξῃ hoc verbo claudi versum suspicatus est Eberhardus  7 ἄλλους ἐγείρεις αὐτὸς οὐδὲν ἰσχύων Eberhard  epim. = **B** promyth.  ἐπεγείροντες **C**[1]

**172** **B** 132 = **C** 159[4] **F** 13 = **C** p. 351 **C** 159[1–3] Eberhard 137 Ὅτι τοῖς συνετοῖς καὶ ποικίλα φρονοῦσιν μᾶλλον ἔπαινός ἐστιν ἢ τῇ φύσει εὐπρεπέσι καὶ μὴ τῇ γνώμῃ. — Στικτή ποτε πάρδαλις ἐκαυχᾶτο φορεῖν ἁπάντων ζῴων ποικιλωτέραν δέρριν· πρὸς ἣν ἀλώπηξ εἶπεν· ʽἐγώ σου τῆς δορᾶς κρείττονα καὶ ποικιλωτέραν γνώμην ἔχω.᾽ **B** — 1—4 primus refinxit Lachmannus: Στικτή ποτ᾽ ηὔχει πάρδαλις φορεῖν ⟨μούνη⟩ Δορὴν ἁπάντων ποικιλωτάτην ζῴων. Πρὸς ἣν ἀλώπηξ εἶπ᾽ ʽἐγὼ δὲ κἀκείνης Κρείσσω τ᾽ ἔχω καὶ ποικιλωτέρην γνώμην᾽  1 ⟨ἄλλων⟩ **G**  2 rest. **G**.

πρὸς ἣν ἀλώπηξ εἶπε· ‘coῦ δορῆc κρείccω
ἔγωγ’ ἔχω καὶ ποικιλωτέρην γνώμην.’
[cυνετοῖc ἔπαινοc τοῖc τε ποικίλοιc μείζων
ἢ τῇ φύcει χρηcτοῖcι μηδὲ τῇ γνώμῃ.]

## 173

Τράγοc ⟨τιc⟩ ἔτρωγέν ⟨ποτ’⟩ ἀμπέλου βλάcτην.
τοῦτον προcεῖπεν ἄμπελοc· ‘τί με βλάπτειc;
οὐκ ἔcτι μοι χλοή ⟨τιc· ἀλλ’⟩ ὅμωc οἶνον
ἐγὼ παρέξω, τοῖc θεοῖcιν ἣν θύῃ’.

Τοὺc ἀχαρίcτουc καὶ βουλομένουc τοὺc φίλουc πλεονεκτεῖν ὁ μῦθοc ἐλέγχει.

## 174

Τράγοc ἐν θέρει κατῆλθε cφόδρα διψήcαc
πιόμενοc ὕδωρ φρέατοc ἐκ βαθυκρήμνου.
πιὼν δ’ ἀνελθεῖν οὐκ ἐδύνατο ⟨πηδήcαc⟩
καὶ μετανοήcαc ⟨τινὰ⟩ βοηθὸν ἐζήτει.
ἰδοῦc’ ἀλώπηξ τοῦτον εἶπεν· ‘ὦ μῶρε·
ὅcαc τρίχαc πώγωνοc εἰ φρέναc ⟨γ’⟩ εἶχεc,
οὐκ ἂν κατῆλθεc, πρίν τιν’ ἄνοδον ἐcκέψω’.

Ὅτι δεῖ πρότερον προcκοποῦντα τὰ τέλη τῶν πραγμάτων οὕτω ποιεῖcθαι τὰc τούτων ἐγχειρήcειc.

---

2 rest. **G** 3 coῦ δορῆc **G**] coῦ δ’ ἐγὼ Eberhard 4 ἔγωγ’ **G**] δορῆc Eberhard [5—6] rest. **G**

173 **B** 133 = **C** $280^1$ **C** $280^2$ (tetrast.) **F** 220 = **C** $280^3$ Eberhard 148 Τράγοc ἐν τῇ ἐκβολῇ τῆc ἀμπέλου τὴν βλάcτην ἔτρωγε. τούτῳ (δὲ add. **C**) προcεῖπεν ἡ ἄμπελοc· ‘τί με βλάπτειc; μὴ γὰρ (γὰρ om. **C**) οὐκ ἔcτι χλόη; ὅμωc ὅcον coῦ θυομένου οἶνον χρῄζουcιν, ἐγὼ παρέξω. **B C** $280^1$ Τράγῳ προcεῖπεν ἄμπελοc· ‘βλάπτειc cύ με Κείρων τὰ φύλλα· μὴ γὰρ οὐκ ἔcτι χλόη; Ὅcον γὰρ ἂν βλάψειαc, εὑρήcω τάχα Πρὸc θυcίαν cὴν εἰc θεοὺc οἶνον βλύcαι. **C** $280^2$ — 1, 3—4 rest. **G**] . . τράγοc . . ἔτρωγεν ἀμπέλου βλάcτην Eberhard 2 rest. Lachmannus 3 Κείρων τὰ φύλλα . . Eberhard Μὴ οὐκ ἔcτι χλοίη; Lachmann epim. = **B** promyth. Τοὺc Knoell] Ὅτι τοὺc **B** Ὅτι καὶ τοὺc **C** βουλευομένουc **B** ἐλέγχει ὁ λόγοc **C**

174 **B** 134 = **C** $4^2$ **C** p. 283 **F** 4 = **C** p. 281 **C** $4^1$ **C** p. 281 sq. epim. Georgides Gnom. I p. 31 Eberhard 145 Τράγοc ἐν θέρει cφοδρῶc διψήcαc κατῆλθεν εἰc βαθύκρημνον φρέαρ (βαθὺν κρημνὸν ὕδωρ **C**) πιεῖν. πιὼν δὲ καὶ χορταcθεὶc οὐκ ἠδύνατο ἀνελθεῖν· καὶ μετενόει καὶ βοηθὸν ἐζήτει. ἀλώπηξ δὲ τοῦτον ἰδοῦcα ἔφη· ‘ὦ ἀνόητε, εἰ τόcαc φρέναc εἶχεc ὅcαc ἐν τῷ πώγωνι τρίχαc, πρότερον οὐκ ἂν κατέβηc, εἰ μὴ τὴν ἄνοδον ἐcκέψω’. **B C** $4^2$ — 1—7 rest. **G** 1 - 2 Σφοδρῶc τράγοc τιc ὑπὸ τὸ καῦμα διψήcαc Κατῆλθε κρημνὸν εἰc βαθὺν πιεῖν ὕδωρ Eberhard 4 κερδὼ δ’ ἰδοῦcά φηcιν· ‘εἰ φρέναc τόccαc . .’ Eberhard 7 πρὶν **F C** $4^1$ **C** p. 281 epim. οὕτω **C** $4^2$] καὶ οὕτω **B** τὰc τούτων ἐγχειρήcειc om. **C** $4^2$ δέον τὰ τέλη τῶν πραγμάτων ἡμᾶc προορᾶν καὶ οὕτωc τὴν τούτων ἐγχείρηcιν ποιεῖcθαι Georgides

## 175

Ὑμηττίη μέλιcca, κηρίων μήτηρ,
ἀνῆλθε μέλι φέρουcα πρὸc θεῶν οἴκουc
μήπω καπνιcθέν. Ζεὺc δ' ἔχαιρε τῷ δώρῳ
δώcειν τε γέραc ὑπέcχεθ' ὅπερ ἂν αἰτήcῃ.
ἡ δ' εἶπε 'δόc μοι κέντρον, εἴ τιc ἀνθρώπων
ἆραι πελάζοι τοὐμὸν ἔργον ὡc κτείνω'.
ἀπεῖπε δ' ὁ Ζεύc, ἠγάπα γὰρ ἀνθρώπουc.
κἄκων ὅμωc ἔδωκεν (εἶπε γὰρ δώcειν),
ἔδωκε δ' αὐτὴν ἀποθανεῖν ἅμα πλήξει.
ζωὴ δὲ κέντρον ἐcτὶ πετομένηc ταύτηc.
[μηδεὶc κατ' ἐχθρῶν μηδὲν ἐχθρὸν αἰτείτω·
ἐπ' αὐτὸν ἥξει γὰρ ἅπερ ἂν κάκ' αἰτήcῃ.]

## 176

Ὑπὸ τῶν κακῶν ⟨μὲν⟩ τἀγάθ' ἦν διωχθέντα
ὡc ἀcθενοῦντα ⟨καὶ μονόcτολ' ἐν γαίῃ⟩.

---

**175** **B** 136 = **C** 240[2] **F** 114 = **C** p. 381 **C** 240[1] Eberhard 139 Ὑμηττία μέλιcca κηρίων μήτηρ ἀνῆλθεν εἰc θεῶν οἴκουc φέρουcα τῷ Διὶ μέλι μήπω καπνιcθέν· ὁ Ζεὺc δὲ τῷ δώρῳ ἐτέρφθη καὶ ὑπέcχετο δοῦναι γέραc, ὃ ἂν αἰτήcηται. ἡ δὲ εἶπεν· 'δόc μοι κέντρον, ἵνα, εἴ τιc ἀνθρώπων τὸ ἐμὸν ἔργον πληcιάcῃ ἆραι, ἀναιρῶ τοῦτον.' ἀπηρέcθη δὲ ὁ Ζεὺc τῇ αἰτήcει· ἠγάπα γὰρ τοὺc ἀνθρώπουc. ὅμωc καὶ μὴ θέλων ἔδωκεν· εἶπε γὰρ δώcειν. τοιοῦτον δὲ δέδωκεν, ὡc αὐτὴν ἀποθνήcκειν ἅμα τῷ πλῆξαι· ζωὴ δὲ αὐτῆc ἐcτι πετομένηc τὸ κέντρον **B** — 1 versum integrum in **B** servatum intellexit Tyrwhittius 2—3 rest. **G**] .... ἀνῆλθεν εἰc θεῶν οἴκουc .... Μή πω καπνιcθέν Lachmann τῷ Διὶ φέρουc' ἀνθῆλθεν εἰc θεῶν οἴκουc Καπνιcθὲν οὔπω μέλι ... Ὁ Ζεὺc δ' ἐτέρφθη ... τῷ δώρῳ Eberhard 4 rest. **G**] ὃ ἂν αἰτήcῃ **F** δώcειν θ' ὑπέcχεθ' ὅτι γέραc ποτ' αἰτήcῃ Eberhard 5 ἡ δ' εἶπε 'δόc μοι κέντρον Lachmann; clausulam versus add. Eberhardus, cui etiam v. 6 debetur 7 ἀπεῖπε **G** ex **F** (ἀπειρηκώc)] ἤλγηcε Eberhardus, qui versum restituit 8 κἄκων ὅμωc **G**] καὶ μὴ θέλων Tyrwhittius, qui versum integrum ex **B** repetendum putabat 9 rest. **G**] τοιοῦτον οὖν ἔδωκεν ὡc ἀποθνήcκειν ... Eberhard 10 rest. **G**] ζωὴ γὰρ αὐτῆc ἐcτι πετομένηc κέντρον **L** [11—12] rest. **G**] Ὅτι ἐν ταῖc εὐχαῖc καὶ δεήcεcι μηδεὶc κατὰ τῶν ἐχθρῶν αἰτείτω τι· ὃ γὰρ ἂν κακὸν αἰτήcηται, ἐπ' αὐτὸν ἥξει **B** promyth. [Ὁ μῦθοc δηλοῖ ὅτι] Ἐν ταῖc εὐχαῖc καὶ ταῖc δεήcεcιν οὐ δεῖ Κατὰ τῶν ἐχθρῶν τι ἐξαιτεῖcθαι κακόν· Ὃ γὰρ ἂν κακὸν κατ' αὐτῶν ἐξαιτήcῃc Ἀνθυποcτρέψει ἐπί cε παραυτίκα. **F**

**176** **B** 137 **F** 347 = **C** 402 (Eberhard Anal. Babr. p. 189, 21) Ὅτι ἀγαθῶν (ἀγαθῷ **F**) μὲν οὐδεὶc ταχέωc ἐπιτυγχάνει, ὑπὸ δὲ τῶν κακῶν ἕκαcτοc καθ' ἑκάcτην πλήττεται. — Ὑπὸ τῶν κακῶν τὰ ἀγαθὰ (Ἀγαθὰ πάντα ὑπὸ τῶν κακῶν **F**) ἐδιώχθη ὡc ἀcθενῆ ὄντα. εἰc οὐρανὸν δὲ ἀνῆλθεν (ἀνῆλθον **F**). τὰ δὲ ἀγαθὰ (em. Knoellius; τὰ δὲ κακὰ **B** καὶ τὰ ἀγαθὰ Halm καὶ τὰ κακὰ **F**) ἠρώτηcαν τὸν Δία, πῶc εἶναι μετ' ἀνθρώπων (ἀνθρώποιc **B**). ὁ δὲ εἶπεν '⟨μὴ⟩ (add. Halm) μετ' ἀλλήλων πάντα, ἓν δὲ καθ' ἓν τοῖc ἀνθρώποιc ἐπέρχεcθαι'. διὰ τοῦτο τὰ μὲν κακὰ cυνεχῆ τοῖc ἀνθρώποιc ὡc πληcίον ὄντα ἐπέρχεται, τὰ δὲ ἀγαθὰ βράδιον ἐξ οὐρανοῦ κατιόντα (κάτειcι **F**). **BF** — 1—9 et [10—11] rest. **G**

εἰϲ οὐρανὸν δ' ἀνῆλθε· τὰ δ' ἀγάθ' ἠρώτα·
'ὦ Ζεῦ ⟨πάτερ⟩, πῶϲ γὰρ μετῶμεν ἀνθρώποιϲ';
ὁ δὲ ⟨'τἀγάθ'⟩ εἶπε 'μὴ τὰ πάνθ' ἅμ' ἀλλήλοιϲ,
ἓν δὲ καθ' ἑαυτὸ τοῖϲ βροτοῖϲ ἐπερχέϲθων'.
διὰ τοῦτο τὰ κακὰ ⟨πάντα⟩ ϲυνεχὲϲ ἀνθρώποιϲ
ἐπέρχεται μὲν πληϲιαίταθ' ὡϲ ὄντα,
τὰ δὲ βράδιον οὐρανοῦ κατελθόντα.
[ἀγαθῶν μὲν οὐδεὶϲ ⟨προϲ⟩επιτυγχάνει θᾶϲϲον,
ὑπὸ τῶν κακῶν δ' ἕκαϲτοϲ αἰὲν ἐπλήγη.]

## 177

Φιλίην ἀλώπηξ αἰετόϲ τ' ἐποιοῦντο·
χὠ μὲν καλιὴν εἶχεν ὑπεράνω δένδρου,
ἡ δ' ὑποκάτω ⟨κευθμῶναϲ⟩. ὁ δ' ἐπιορκήϲαϲ
ϲκύμνουϲ ἔδωκε τοὺϲ ἀλώπεκοϲ θοίνην
αὑτοῦ νεοϲϲοῖϲ· ἱερήιον δ' ἄραϲ
εἰϲ τὴν καλιὴν ἀνθρακωθὲν εἰϲῆχει·
νεοϲϲιὴ δ' ἐξῆπτο κἄπεϲον τέκνα,
θήρην δ' ἀλώπηξ τὰ γενόμεν' ἐποιεῖτο.

Ὅτι δίκη τιϲ ἐφορᾷ τὰ τῶν ἀνθρώπων καὶ τοὺϲ ἐπιόρκουϲ ἀμύνεται καὶ ἀποδίδωϲι κατ' ἀξίαν.

## 178

Φυτὸν ἐν γεωργοῦ καρπὸν οὐ φοροῦν χώρῃ
ϲτρουθῶν λάλων ἦν καταφυγή τε τεττίγων.

---

1 τἀγάθ' ἐδιώχθη Eberhard 3 εἰϲ οὐρανὸν δ' ἀνῆλθεν . . Eberhard 5 ὁ δ' εἶπεν ⟨αὐτοῖϲ⟩ μὴ (μηδαμῶϲ?) μετ' ἀλλήλων . . Eberhard

**177** **B** 139 **F** 1 = **C** p. 279 **C** p. 280 Aug. 1 **C** 1 1–2 (Eberhard p. 189, 22) Φιλίαν ἐϲπείϲατο πρὸϲ ἀετὸν ἀλώπηξ. καὶ ὁ μὲν εἶχε τὴν καλιὰν ἐπάνω τοῦ δένδρου, ἡ δὲ ὑπὸ τὴν ῥίζαν. ὁ δὲ ἀετὸϲ ἐπιορκήϲαϲ τοὺϲ ϲκύμνουϲ τῆϲ ἀλώπεκοϲ τοῖϲ [δὲ del. Knoellius) νεοϲϲοῖϲ θοίνην ἔδωκεν ἄλλοτε δὲ ἱερεῖον ἐκ τοῦ βωμοῦ ἁρπάϲαϲ μετὰ ἄνθρακοϲ ἔθετο εἰϲ τὴν καλιάν. ἡ δὲ ἐξήφθη καὶ οἱ νεοϲϲοὶ κατέπεϲον· καὶ ἡ ἀλώπηξ θήραν ἐποιήϲατο τὸ ϲυμβάν. **B** — 1—8 rest. **G** 1 Φιλίην (ἀλώπηξ)? . . Eberhard 2 χὠ μὲν καλιὴν εἶχεν ἐν κάρᾳ δένδρου Eberhard epim. = **B** promyth.

**178** **B** 140 = **M** (arcianus, XI, 1) 27 **F** 266 **C** 173 Eberhard 169 Φυτὸν ἦν εἰϲ (εἰϲ om. **M**) γεωργοῦ χώραν (χώρα **M**) καρπὸν μὴ φέρον, ἀλλὰ μόνον ϲτρουθῶν καὶ τεττίγων κελαδούντων ἦν καταφυγή (καταφύγιον **M**) ὁ δὲ γεωργὸϲ ὡϲ ἄκαρπον ἐκτεμεῖν (ἐκτέμνειν **FC**) ἤμελλεν καὶ δὴ τὸν πέλεκυν λαβὼν ἐπέφερε τὴν πληγήν. οἱ δὲ τέττιγεϲ καὶ οἱ ϲτρουθοὶ ἱκέτευον τὴν καταφυγὴν αὐτῶν μὴ ἐκκόψαι, ἀλλ' ἐᾶϲαι, ὥϲτε ᾄδειν ἐν αὐτῷ καὶ ϲέ (ϲέ om. **C** αὐτὸν Halm), τὸν γεωργόν, τέρπειν. ὁ δὲ μηδὲν

ὁ δ' ὡς ἄκαρπον ἐκτεμεῖν ἐβουλήθη
καὶ δὴ λαβὼν τὸν πέλεκυν ἐπέφερεν πλῆξιν.
οἱ δ' ἱκέτευον 'μή' ⟨λέγοντες⟩ 'ἐκκόψῃς
ἡμῶν τὸ καταφύγιον, ἀλλ' ἔα ⟨γ'⟩ ἡμᾶς
ᾄδειν ἐν αὐτῷ καί, γεωργέ, σ' εὐφραίνειν'.
ὁ δὲ μηδὲν αὐτῶν φροντίσας ⟨κενῷ δένδρῳ⟩
καὶ δευτέρην ἐπέφερε καὶ τρίτην πλῆξιν.
ἐπεὶ δὲ ⟨ταῖς⟩ πληγαῖσι φυτὸν ἐκοιλάνθη,
σμῆνος μελισσῶν εὗρε καὶ μέλι ⟨πλεῖστον⟩.
τοῦ δ' ὡς ἐγεύσατ', ⟨εὐθὺς⟩ ἔβαλεν ἀξίνην
τό τε φυτὸν ἐτίμησ' ὡς ἄγαλμα φροντίζων.

Ὅτι οὐ τοσοῦτον οἱ ἄνθρωποι φύσει τὸ δίκαιον ἀγαπῶσι καὶ τιμῶσιν, ὅσον τὸ κερδαλέον ἐπιδιώκουσιν.

## 179

Φαλακρός τις αὐτῷ περιτιθεὶς τρίχας ξείνας
ἵππευε· τὰς δ' ὁ ⟨γ'⟩ ἄνεμος εἷλε φυσήσας·
γέλως πλατὺς δ' ⟨ἄρ'⟩ εἶχε τοὺς παρεστῶτας.
πρὸς ταῦτ' ἐκεῖνος εἶπε τοῦ δρόμου παύσας·
'τὰς οὐκ ἐμάς με τί ξένον τρίχας φεύγειν,
αἳ καὶ κατέλιπον οὗ ποτ' ἐγγενεῖς ἦσαν;

Ὅτι μηδεὶς λυπείσθω ἐπὶ συμφορᾷ ἐπελθούσῃ· ὃ γὰρ γεννηθεὶς οὐκ ἔσχεν ἐκ φύσεως, τοῦτο οὐδὲ παραμένει· γυμνοὶ γὰρ ἤλθομεν, γυμνοὶ καὶ ἀπελευσόμεθα.

---

αὐτῶν φροντίσας καὶ δευτέραν πληγὴν καὶ τρίτην ἐπέφερεν. ὡς δὲ ἐκοίλανε τὸ δένδρον, σμῆνος μελισσῶν καὶ μέλι εὗρε. γευσάμενος δὲ τὸν πέλεκυν ἔρριψε καὶ τὸ φυτὸν ἐτίμα ὡς ἱερὸν καὶ ἐπεμελεῖτο. **BFC** — 1—13 rest. **G**   3 ὁ δὲ τοῦτ' ἔμελλεν ὡς ἄκαρπον ἐκτέμνειν Eberhard   epim. φύσει ⟨τὸ⟩ δίκαιον **C**] τὸ φύσει δίκαιον **B** τῇ φύσει δίκαιον **M** φύσει δίκαιον **F**

**179** **B** 141 **M** 28 **F** 326 **C** 283 Eberhard 140 Φαλακρός τις τρίχας ξένας (ξένας τρίχας **FC**) τῇ ἑαυτοῦ κορυφῇ περιθεὶς (ἐπιθεὶς **M** περιθεὶς κεφαλῇ **FC**) ἵππευεν. ἄνεμος δὲ φυσήσας ἀφείλετο ταύτας (αὐτὰς **M**). γέλως πλατὺς δὲ (δὲ πλατὺς **FC**) τοὺς παρεστῶτας εἶχεν (εἶχε **FC**). κἀκεῖνος εἶπε τοῦ δρόμου παύσας (παυσάμενος **M**)· 'τὰς οὐκ ἐμὰς τρίχας τί ξένον φεύγειν με, αἳ καὶ τὸν ἔχοντα ταύτας, μεθ' οὗ καὶ ἐγεννήθησαν, κατέλιπον'; **BFC** — 1 rest. Hauptius τις add. **G**   2 rest. **G**   3 rest. Lewisius   4 πρὸς ταῦτ' ἐκεῖνος **G**] κἀκεῖνος αὐτοῖς Lewis   5 rest. Eberhardus   6 αἳ καὶ κατέλιπον **G**] αἳ τοῦτον ἔλιπον Hauptius, cui reliqua debentur   epim. = **B** promyth. ἐπὶ om. **F**   συμφοραῖς ἐπελθούσαις αὐτῷ **FC**   οὔτε **B**   ἤλθομεν οἱ πάντες **FC** ἤλθομεν ἐκ γῆς πάντες **M**   καὶ **B**] οὖν **FC** οὖν καὶ **M**

## 180

Φαcίν ⟨ποθ'⟩ ὗν αὐχοῦcαν ἐπὶ τέκνων πλήθει
εἰπεῖν λεαίνῃ· 'cὺ ⟨δὲ⟩ πόcουc φέρειc cκύμνουc';
λέαινα δ' εἶπεν· 'ἕνα μέν, ἀλλὰ γενναῖον'.

Ὅτι κρείccων εἷc ῥώμῃ cώματοc καὶ ἀνδρείᾳ ἢ καὶ φρονήcει διαφέρων ἢ πολλοὶ δειλοὶ καὶ ἄνανδροι ἢ καὶ ἄφρονεc.

## 181

Χαλκεὺc κύν' εἶχε· χὤποτ' ἦν τι χαλκεύων
ὁ κύων ἐκοιμᾶθ', ἐcθίοντι δὲ προὔcτη.
ὀcτοῦν δὲ ῥίψαc οὗτοc εἶπεν 'ὑπνῶδεc,
ὑπνοῖc μέν, ὅταν ⟨ἐγώ ποτ'⟩ ἄκμονα κρούω,
ἐγρήγοραc ⟨cὺ⟩ δ', ὅταν ὀδόντα κινήcω'.

Τοὺc ὑπνώδειc καὶ ἀργοὺc καὶ ἐξ ἀλλοτρίων πόνων τρεφομένουc ὁ μῦθοc ἐλέγχει.

## 182

Μῦc ἐφιλιώθη βατράχῳ κακῇ μοίρῃ.
ὁ βάτραχοc δὲ ⟨μάλα⟩ κακῶc βεβουλεύκει

---

**180** **B** 142 **F** 189 = **C** p. $372^{2}$ **F** 106 = **C** p. $372^{1}$ **C** 215 Aug. 158 (Knoell 'Neue Babrianische Fabeln', Zeitschrift f. d. öst. Gymn. 1876 p. 165) Φαcὶν ὗν (φαcὶνῦν cod.) καυχωμένην ἀγέλην παίδων ἔχουcαν εἰπεῖν τῇ λεαίνῃ· 'πόcουc παῖδαc cὺ γεννᾷc'; ἡ δ' εἶπεν· 'ἕνα μέν, ἀλλὰ γενναῖον'. **B** Στάcιc (em. Halm. Φάcιc **F C**) ἦλθεν ἅπαcι (em. **C** ἦλθε πᾶcι **F**) τοῖc τετραπόδοιc Καύχημα κατέχουcα εἰc παίδων πλήθη. Καὶ δὴ ἔφαcκον τῇ λεαίνῃ βοῶντεc· Εἰπὲ ⟨δὴ⟩ (add. **C**) καὶ cὺ τὸ πόcουc παῖδαc τίκτειc; Ἡ δέ γελῶcα πρὸc αὐτοὺc ταῦτα λέγει· 'Σκύμνον μὲν ἕνα, ἀλλὰ γενναῖον πάνυ.' **F** 189 = **C** p. $372^{2}$ Λέαινα ὀνειδιζομένη ὑπὸ ἀλώπεκοc ἐπὶ τὸ διὰ παντὸc (τοῦ χρόνου add. **F**) ἕνα τίκτειν 'ἕνα' (ἕνα om. **F**) ἔφη, 'ἀλλὰ λέοντα'. **F** 106 = **C** p. $372^{1}$ **C** 215 Aug. 158 — 1—3 rest. **G** epim. = **B** promyth. **F** 189 epim. ἢ primum, διαφέρων, καὶ ἄνανδροι ἢ om. **F** 106 Ὁ μῦθοc δηλοῖ ὅτι τὸ καλὸν οὐκ ἐν πλήθει, ἀλλ' ἐν ἀρετῇ **F** 106 = **C** p. $372^{1}$ **C** 215 Ὅτι τὸ καλὸν οὐκ ἐν πλήθει δεῖ μετρεῖν, ἀλλὰ πρὸc ἀρετὴν ἀφορᾶν Aug.

**181** **B** 143 **F** 82 = **C** p. 397 **C** $284^{1-3}$ (Eberhard Anal. Babr. p. 190, 24) Χαλκεὺc εἶχε κύνα. καὶ ὅτε μὲν ἐχάλκευεν, ὁ κύων ἐκοιμᾶτο, ὅτε δὲ ἤcθιεν, παρίcτατο αὐτῷ. ὁ δὲ ὀcτοῦν ῥίψαc αὐτῷ εἶπεν· 'ταλαίπωρε ὑπνῶδεc, ὅταν μὲν τὸν ἄκμονα κρούω ὑπνοῖc· ὅταν δὲ τοὺc ὀδόνταc κινήcω, εὐθὺc ἐγείρῃ. B — 1—5 rest. **G** 1 Χαλκεὺc κύν' εἶχε? Eberhard 1—2 χὤποτ' ... προὔcτη **G**] ὁ δὲ χαλκεύων, ὁ κύων ἐκοιμᾶτο· πάλιν δ' ἐcθίων, ἐγρηγόρει **C** $284^{1-2}$ 3 ὃ δ' εἶπεν αὐτῷ ⟨χναυθὲν?⟩ ὀcτέον ῥίψαc Eberhard 4 clausulam versus ἄκμονα κρούω indicavit Eberhardus 5 ὅταν δὲ τοὺc ὀδόνταc ⟨μικρὰ⟩ κινήcω Eberhardus cum vitio metri epim. = **B** promyth.

**182** **B** 144 **F** 307 **C** $245^{1-2}$ Eberhard 175 Χερcαῖοc μῦc κακῇ μοίρῃ βατράχῳ ἐφιλιώθη. ὁ δὲ βάτραχοc κακῶc βουλευcάμενοc τὸν πόδα τοῦ μυὸc τῷ ἑαυτοῦ ποδὶ cυνέδηcε. καὶ πρῶτον μὲν ἐπὶ τῆc (τὰc **B**) χώραc ἦλθον (ἦλθε **B**) cῖτον δειπνήcοντεc· ἔπειτα δὲ τῷ χείλει (εἰc

αὐτοῦ cκέλος μυός τε πόδ' ⟨ἐπι⟩cυνδῆcαι.
πρῶτον μὲν οὖν ἐξῆλθον ⟨ἅμ'⟩ ἐπὶ τῆc χώρηc
ὡc cιτοδειπνήcοντεc· εἶτα τῷ χείλει
λίμνηc πάρεγγυc γενόμενοι ⟨cὺν ἀλλήλοιc⟩
ὁ βάτραχοc μὲν μῦν κατῆγεν εἰc βένθη
αὐτὸc βρυάζων βρεκεκεκὲξ τ' ἀνακράζων.
ὁ δ' ἄθλιοc μῦc ὑδροδόχοc ἐτεθνήκει·
ποδὶ βατράχου δὲ cυνδεδεμένοc ἐξέπλει.
τοῦτον δ' ἰδὼν ὄνυξιν ἥρπαc' ἰκτῖνοc
κἀπηκολούθει βάτραχόc ⟨γε⟩ δεcμώτηc
δεῖπνόc ⟨τε⟩ καὐτὸc ⟨νῦν⟩ γενόμενοc ἰκτίνῳ.
[κἂν νεκρὸc ᾖ τιc, εἰc ἄμυναν ἰcχύει·
θείη δίκη γὰρ πάνθ' ὁρῶc' ἂν ἰcοίη.]

## 183

Χειμών ⟨ποτ'⟩ ἄνδρα τίν' ἐν ὄρει κατειλήφει.
ἀνιόντ' ἰδὼν δὲ καπνὸν οὗτοc ἐκ πέτρηc,
ὅπου κατῴκει cάτυροc ὄνομ' ἔχων παίκτηc,
ἐκεῖc' ἀπῆλθ'· ἐcῆγε δ' αὐτὸν οἰκτείραc.
ὁ δὲ πολλὰ ῥιγῶν χεῖρ' ἔθαλπε τῇ πνοίῃ.
κἀκεῖνοc αὐτῷ θέρμ' ἔδωκέ βιβρώcκειν
καὶ θερμὰ πίνειν πυρί τ' ἔθαλπε τὸν ξεῖνον.
ὁ δὲ χεῖραc ἱδρῶν πάλιν ἔψυχε τῇ πνοίῃ.
⟨ἰδὼν⟩ δὲ ⟨τοῦθ'⟩ ὁ cάτυροc αὐτὸν ἐξῆγεν
'κακοῦ γάρ' εἰπών 'οὐκ ἔχω ξένου χρείην,
ὃc θερμὰ νῦν μέν, νῦν δὲ ψυχρὸν ἀcθμαίνει'.

---

[om. **C**] τὸ χεῖλοc **FC**) τῆc λίμνηc πληcιάcαντεc ὁ μὲν βάτραχοc τὸν μῦν εἰc τὸ βάθοc κατῆγεν (τὸν βυθὸν κατήνεγκεν **FC**) αὐτὸc βρυάζων τῷ ὕδατι καὶ τὸ βρεκεκεκὲξ (κοὰξ κοὰξ add. **FC**) ἀνακράζων (βρὲκ εξ κεκ ἐξανακράζων **B**). ὁ δὲ ἄθλιοc μῦc τῷ ὕδατι φυcηθεὶc ἐτεθνήκει. ἐπέπλει δὲ τῷ ποδὶ τοῦ βατράχου cυνδεδεμένοc. ἴκτινοc (ἰκτῖνοc **C**) δὲ τοῦτον ἰδὼν τοῖc ὄνυξιν ἥρπαcεν· βάτραχοc δὲ δεcμώτηc ἐπηκολούθει δεῖπνοc (δεῖπνον **FC**) καὶ αὐτὸc (αὐτῷ **F**) τῷ (om. **FC**) ἰκτίνῳ γενόμενοc (γινόμενοc **F** γενηcόμενοc **C**) (**B F C**) — 1—13 rest. **G** 1 χερcαῖοc ἦν μῦc, βατράχῳ κακῇ μοίρῃ? Eberhard 8 αὐτὸc βρυάζων versus initium esse vidit Eberhardus, qui tamen τὸ βρεκεκεκὲξ κοὰξ κοὰξ ἀνακράζων versum integrum in **FC** deprehendisse sibi visus est 9 ὁ δ' ἄθλιοc μῦc .... ἐτεθνήκει Eberhard 12—13 βάτραχοc δὲ δεcμώτηc 'Επηκολούθει δεῖπνον αὐτὸc ἰκτίνῳ Eberhard [14—15] rest. **G**] Ὅτι, κἂν νεκρὸc ᾖ τιc, ἰcχύει πρὸc ἄμυναν· ἡ γὰρ θεία δίκη ἐφορᾷ (εὐφορᾷ **B** ὑφορᾷ **F**) πάντα καὶ τὸ ἶcον ἀποδιδοῦcα (ἀποδιδοῦcι **B** ἀποδίδωcι καὶ **F**) ζυγοcτατεῖ (ζυγοcτατοῦcιν) **B F C**[1]

**183** **B** 145 **M** 30 Eberhard p. 98; cf. **F** 26 = **C** p. 329 **C** 126 Aug. 35, quae tamen fabulae valde ab hac discrepant. [Ὅτι] διγνώμουc ἄνδραc τοὺc ποτὲ μὲν ἐπαινοῦταc, ποτὲ δὲ ψέγονταc ὁ μῦθοc διαβάλλει (ὁ λόγοc ἐλέγχει **M**). — Χειμὼν ἄνθρωπόν τινα ἐν ὄρει κατέλαβεν. ὁ δὲ

[ἄνδρας διγνώμους τοὺς ποτὲ μὲν ἐπαινοῦντας
ποτὲ δὲ ψέγοντας ὁ λόγος ⟨ὅδ' ἐπ⟩ονειδίζει.]

## 184

Ποταμὸς Χύτραν ⟨τις⟩ συγκατέφερε χαλκείῳ.
χύτρα δὲ τούτῳ· ʽμακρόθεν κολυμβήσῃς
καὶ μὴ πάρεγγυς· μοὶ γὰρ ἢν σὺ προσψαύσῃς,
κλῶμαί τ' ἐγὼ κἂν μὴ θέλουσα προσψαύσω.'

Ὅτι ἐπισφαλής ἐστι βίος πένητι δυνάστου ἅρπαγος πλησίον παροικοῦντος.

## 185

Ὡδοιπόρησέ ποτε λέων σὺν ἀνθρώπῳ.
τούτων δ' ἑκάτερος τοῖς λόγοις ἐκαυχῶντο.
ἐνόδιος ἔτυχε δ' οὖσα πετρίνη στήλη
λέοντα καταπνίγοντος ἀνδρός· ἣν δείξας
ἀνήρ ʽὁρᾷς' λέοντί φησι ʽπῶς ὕμων
ἡμεῖς ⟨γε⟩ κρείττους ἐσμέν;' ὁ δὲ ⟨λέων τούτῳ⟩
ʽἀλλ' εἰ λέοντες' εἶπεν ʽᾔδεσαν γλύψαι,
πολλοὺς ἂν εἶδες ὑπὸ λέοντος ἀνθρώπους.

Ὅτι πολλοὶ καυχῶνται διὰ λόγων ἀνδρεῖοι εἶναι καὶ θρασεῖς οὓς ἡ πεῖρα γυμνασθέντας ἐξελέγχει.

---

καπνὸν ἐν τῇ ἄκρᾳ τοῦ ὄρους ἐκ πέτρας τινὸς ἀνιόντα ἰδών, ἔνθα σάτυρος, οὓς λέγουσι παίκτας (τέκτας **M**) κατῴκει, ἐκεῖ ἀπῆλθεν. αὐτὸς δὲ τὸν ξένον οἰκτείρας ἐπεισῆγεν (ἔσω εἰσήγαγεν **M**). ὁ δὲ πολλὰ ῥιγῶν τῇ πνοῇ τοῦ στόματος τὰς χεῖρας ἐθέρμανεν (ἐπέθερμανε **M**). κἀκεῖνος αὐτῷ θερμὰ μὲν φαγεῖν δέδωκε καὶ θερμὰ πιεῖν καὶ πυρὶ κατέθαλπεν. ὡς δὲ ἵδρωσε, τῇ πνοῇ πάλιν τὰς χεῖρας κατέψυχεν. ὁ δὲ σάτυρος τοῦτον ἐξῆγε ʽκακοῦ' λέγων ʽξένον χρείαν οὐκ ἔχω, ὃς ποτὲ μὲν θερμὸν ποτὲ δὲ ψυχρὸν ἐκ τοῦ στόματος ἀσθμαίνει' **B M** — 1—11 et [12—13] rest. **G**

**184** **B** 147 **F** 329 **C** 290 Χύτραν ὀστρακίνην καὶ χαλκῆν ποταμὸς κατέφερεν. ἡ δὲ ὀστρακίνη τῇ χαλκῇ ἔλεγεν· ʽμακρόθεν μου κολύμβα καὶ μὴ πλησίον· ἐὰν γάρ μοι σὺ προσψαύσῃς (μοι συμπροψαύσεις **F**), κατακλῶμαι, κἄν τε ἐγὼ μὴ θέλουσα (θέλω σοι **C**) προσψαύσω (προψαῦσαι **F** προσψαῦσαι **C**) **B F C** — 1—4 rest. **G**    epim. **F C** = **B** promyth. ἅρπαγος **B**] ἄρχοντος **F C**

**185** **B** 148 **M** 32 **F** 169 = **C** p. 374 **C** 219¹⁻⁴ Eberhard 173 Ὥδευέ ποτε λέων σὺν ἀνθρώπῳ (ἀνθρώποις **M**). ἕκαστος δὲ αὐτῶν τοῖς λόγοις ἐκαυχῶντο. καὶ δὴ ἐν τῇ ὁδῷ ἦν ἀνδρὸς στήλη πετρίνη λέοντα πνίγουσα (πνιγούσης **M**). ὁ δὲ ἀνὴρ ὑποδείξας τῷ λέοντι ἔφη· ʽὁρᾷς σὺ (σὺ om. **M**) πῶς (ὅπως **M**) ἐσμεν ὑμῶν κρείττονες;' κἀκεῖνος εἶπεν ὑπομειδιάσας (ὁ δὲ ἔφη **M**)· ʽεἰ λέοντες (λέοντες om. **M**) ᾔδεισαν γλύφειν, πολλοὺς ἂν (ἂν om. **M**) ἄνδρας εἶδες ὑποκάτω λέοντος' **B M** — 1—8 rest **G**    1 ὁμοῦ λέων ὥδευε δήποτ' ἀνθρώπῳ? Eberhardus duce **C**¹ : λέων σὺν ἀνθρώπῳ ὥδευεν ὁμοῦ    6—8 ὁ δὲ λέων ἔφη ʽεἰ ᾔδεσαν λέοντες γλύφειν, πολλοὺς ἀνθρώπους ἂν εἶδες ὑποκάτω λέοντων **C**¹    7 **C**³ (tetrastichon) nisi quod habet γλύφειν] .. εἰ λέοντες ᾔδεσαν γλύψαι Eberhard    epim. = **B** promyth. ἐπαίρονται καὶ καυχῶνται **M** λόγον **M**    καὶ θαρσεῖς εἶναι **M**

## 186

Πέτρης καταπτὰς αἰετός ⟨τις⟩ αἰπείης
ἄρν᾽ ἥρπασεν· κολοιὸς οὖν θεωρήσας
ζηλῶν τε τοῦτον ἠθέλησε μιμεῖσθαι.
καὶ δὴ καθεὶς ἑαυτὸν ὀξέῃ ῥοίζῳ
ἐπὶ κριὸν . . . . . . . . . . ἠνέχθη
ὀνύχων δὲ τοῖς μαλλοῖσι τοῦδ᾽ ἐναφθέντων
⟨πόλλ᾽⟩ ἐπτερύσσετ᾽, οὐ δυνάμενον ἀρθῆναι
ἕως ὁ ποιμὴν προσδραμὼν συνειλήφει.
οὗτος κολοιοῦ τὰ πτέρ᾽ ⟨αὐτίκ᾽⟩ ἐκκόψας
ὡς ἑσπέρη κατέλαβεν, ἐκόμισεν τέκνοις.
τῶν δ᾽ ⟨οὖν⟩ πυθομένων τίς ⟨ποτ᾽⟩ ὀρνέων εἴη,
ἔφησεν ʽὡς ἔγωγε μὲν σαφῶς οἶδα,
κολοιός, αἰετὸς δὲ βούλεται δόξαι᾽.
[οὐδὲν ἀνύει τοῖς ὑπερέχουσιν ἀθλεύειν
γέλωτά τ᾽ ἐν ταῖς συμφοραῖσι προσκτᾶται.]

## 187

Ἀναβᾶσ᾽ ἀλώπηξ φραγμὸν ὡς ὀλισθαίνειν
ἤμελλεν, ἥφθη του βάτου ⟨πολυρρήχου⟩.

---

**186** **F** 3 = **C** p. 370 **C** 203¹⁻⁴ Aug. 2 Eberhard 171 Ἀετὸς καταπτὰς ἀπό τινος ὑψηλῆς πέτρας ἄρνα ἥρπασε. κολοιὸς δὲ τοῦτο θεασάμενος διὰ ζῆλον τοῦτον μιμήσασθαι ἠθέλησε (ἤθελε Aug.). καὶ δὴ καθεὶς ἑαυτὸν μετὰ πολλοῦ ῥοίζου ἐπὶ κριὸν ἠνέχθη. ἐμπαρέντων δὲ αὐτοῦ τῶν ὀνύχων τοῖς ἐκείνου μαλλοῖς ἐξαρθῆναι μὴ δυνάμενος ἐπτερύσσετο, ἕως οὗ (οὗ om. Aug.) ὁ ποιμὴν τὸ γεγονὸς αἰσθόμενος προσδραμὼν συνέλαβεν αὐτόν. καὶ περικόψας αὐτοῦ τὰ ὀξύπτερα, ὡς ἑσπέρα κατέλαβε, τοῖς ἑαυτοῦ (αὐτοῦ Aug.) παισὶν ἐκόμισε τῶν δὲ πυνθανομένων τί ἂν εἴη τὸ ὄρνεον ἔφη· ʽὡς μὲν ἐγὼ σαφῶς οἶδα, κολοιός, ὡς δὲ αὐτὸς βούλεται, ἀετός᾽. — Οὕτως ὃς (ἡ Aug.) πρὸς τοὺς ὑπερέχοντας ἁμιλλᾷ (ἅμιλλα Aug.) καὶ ἐν ταῖς (ἐπὶ Aug.) συμφοραῖς προσκτᾶται γέλωτα. **C** 203¹ Aug. — 1, 4, 8 rest. Eberhardus, reliquos **G** 12 - 13 ʽΚολοιός᾽ εἶπεν, ʽὡς ἐγὼ σαφῶς οἶδα, Ἀλλ᾽ αἰετῶν τις, αὐτὸς ὡς ἐβουλήθη᾽. Eberhard

**187** **F** 8 = **C** p. 285 **C** 8¹⁻² Aug. 19 Eberhard 157 Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα ἐπειδὴ ὀλισθαίνειν ἤμελλεν, βάτου ἐπελάβετο πρὸς βοήθειαν (πρὸς βοήθειαν om. Aug.). ξυσθεῖσα δὲ τὸ πέλμα καὶ δεινῶς πληγωθεῖσα (διατεθεῖσα Aug.) εἶπε πρὸς αὐτήν· ʽαἴ με· (ᾐτιᾶτο αὐτὴν εἴ γε Aug.) καταφυγοῦσα γὰρ ἐπὶ σὲ (καταφυγοῦσα ἐπ᾽ αὐτὴν Aug.) ὡς ἐπὶ βοήθειαν (βοηθὸν Aug.) χειρόν μοι ἐχρήσω᾽. (χείρονι αὐτῇ ἐχρήσατο καὶ τοῦ προκειμένου᾽. καὶ ἡ βάτος ὑποτυχοῦσα εἶπεν· Aug.) ‚ἀλλ᾽ ἐσφάλης, ὦ φίλη‘. φησὶν ἡ βάτος (ἀλλ᾽ ἐσφάλης τῶν φρενῶν, ὦ αὕτη Aug.), ‚ἐμοῦ ἐπιλαβέσθαι βουληθεῖσα, ἥτις πάντων ἐπιλαμβάνεσθαι (ἐπιλαβέσθαι Aug.) εἴωθα‘. — Ὁ μῦθος δηλοῖ, ὅτι (Ὁ... ὅτι om. Aug.) οὕτω καὶ τῶν ἀνθρώπων μάταιοί εἰσιν ὅσοι (τούτοις ὡς add. Aug.) βοηθοῖς προστρέχουσιν (προσφεύγουσιν Aug.) οἷς τὸ ἀδικεῖν μᾶλλον (μᾶλλόν

ξυςθεῖςα δὴ τὸ πέλμα δεινά τ' ἀλγοῦςα
εἶπεν πρὸς αὐτήν· 'αἴ με· πρός cε φευγούςῃ
ὡς ἐπὶ βοηθόν μοι cὺ χεῖρον ἐχρήcω'.
βάτος δέ φηςιν ὑποτυχοῦςα ⟨πρὸς ταύτην⟩·
'ἀλλ' ἐςφάλης ⟨cὺ⟩ τῶν φρενῶν, ὅτ' ἠβούλου
ἐμοῦ λαβέcθαι τῆς ⟨γε⟩ λαβομένης πάντων'.
[οὕτω μάταιοί μοι δοκοῦςιν ἀνθρώπων
ὅcοι βοηθοῖς προςτρέχουςι τοιούτοις
οἷς μᾶλλόν ἐςτιν ἔμφυτον ἀδικεῖν ⟨ἄλλους⟩.]

## 188

'Αλέκτορ' αἴλουρός ⟨ποθ' εἷς⟩ ςυνειλήφει
μετ' αἰτίης τε καταφαγεῖν ἐβουλήθη.
χὠ μὲν κατήρξατ' οὖν κατηγορεῖν κείνου
'ὀχληρός' εἰπών 'ἐςςὶ τοῖςιν ἀνθρώποις
νύκτωρ κεκραγὼς μηδ' ἐῶν τυχεῖν ὕπνων'.
ὁ δ' ,ἐπ' ὠφελείᾳ' φηςί ,τοῦτ' ἐγὼ πράττω,
αὐτοὺς ἐγείρειν ἐπὶ τὰ κοινὰ τῶν ἔργων.'
'ἀλλ' οὐ cὺ κἀςεβὴς ⟨μάλ'⟩ εἰς φύςιν γίνῃ
ὡς ταῖς ἀδελφαῖς μητράςιν τ' ἐπεμβαίνων';
,καὶ τοῦτο δεςπόταιςιν ὠφελὲς πράττω,
ἐντεῦθεν αὐτοῖς ᾠὰ πολλὰ ςκευάζων.'

---

ἐςτιν Aug.) ἔμφυτον. **F** Aug. — 1—[11] rest. **G** 3 καὶ δὴ τοὺς πόδας ἐπὶ τοῖς ἐκείνης κέντροις αἱμάξαςα καὶ ἀλγήςαςα **C**[1] 5 ὡς ἐπὶ βοηθὸν cὺ χεῖρον διέθηκας **C**[1] χεῖρον ἐχρήcω versus clausulam esse intellexit Eberhardus

**188** **F** 15 **C** 6 Aug. 16 Αἴλουρος ςυλλαβὼν ἀλεκτρυόνα τοῦτον ἐβούλετο μετ' εὐλόγου αἰτίας καταθοινήςαςθαι. καὶ δὴ ἤρξατο κατηγορεῖν (ἀρξάμενος κατηγόρει Aug.) αὐτοῦ λέγων· ὀχληρὸν αὐτὸν (αὐτὸν om. Aug.) εἶναι τοῖς ἀνθρώποις νύκτωρ κεκραγότα μηδὲ ὕπνων (καὶ οὐδὲ ὕπνου Aug.) τυχεῖν (αὐτοὺς add. Aug.) ἐῶντα. τοῦ δὲ εἰπόντος (ὡς add. Aug.) ἐπ' ὠφελείᾳ αὐτῶν τοῦτο ποιεῖν (ποιεῖ Aug.)· ἐπὶ γὰρ τὰ ςυνήθη τῶν ἔργων διεγείρει (ἐγείρειν Aug.), ἐκ δευτέρου ὁ αἴλουρος (ὁ αἴλουρος om. Aug.) ἔλεγεν 'ἀλλὰ (καὶ add. Aug.) ἀςεβὴς (ἀςεβής τε Aug.) εἰς τὴν φύςιν τυγχάνεις (καθέςτηκας καὶ Aug.) ἀδελφαῖς καὶ μητρὶ (μήτραςιν Aug.) ἐπεμβαίνων (ἐπεμβαίνεις Aug.)'. τοῦ δὲ καὶ τοῦτο εἰς ὠφέλειαν τῶν δεςποτῶν πράττειν φήςαντος, πολλὰ γὰρ ᾠὰ (αὐτοῖς add. Aug.) τίκτεςθαι παραςκευάζει (παραςκευάζω Aug.), ἐκεῖνος ἀποκριθεὶς (διαπορηθεὶς ἐκεῖνος Aug.) ἔφη· 'ἐὰν cὺ ἀφορμῶν πολλῶν εὐπορήςῃς, ἐγὼ τέως ἄδειπνος οὐ μενῶ (ἐὰν οὖν cὺ ἀφορμὰς εὑρήςεις, ἐγὼ cὲ οὐ κατεδοῦμαι: Aug.)'. — 'Ο μῦθος (λόγος Aug.) δηλοῖ, ὅτι ἡ πονηρὰ φύςις πλημμελεῖν προαιρουμένη (προελομένη Aug.), κἂν (μὴ add. Aug.) μετ' εὐλόγου προςχήματος οὐ (οὐ om. Aug.) δυνηθῇ, ἀλλά γε (ἀλλά γε om. Aug.) ἀπαρακαλύπτως πονηρεύεται. **F** Aug. Αἴλουρος ςυλλαβὼν ἀλεκτρυόνα μετ' εὐλόγου τοῦτον αἰτίας ἠβουλήθη καταφαγεῖν. καὶ δὴ κατηγόρει αὐτοῦ ὡς ὀχληρὸς εἴη τοῖς ἀνθρώποις νύκτωρ κεκραγὼς καὶ μὴ ςυγχωρῶν ὕπνου τυγχάνειν. τοῦ δ' ἀπολογουμένου ἐπὶ τῇ ἐκείνων ὠφελείᾳ τοῦτο ποιεῖν ὡς ἐπὶ τὰ ςυνήθη τῶν

ʽἀλλʼ εἴγε πολλῆς εὐπορεῖς cὺ cυγγνώμης,
ἔγωγε μέντοι ⟨νῦν⟩ ἄδειπνος οὐ μίμνω'.
[φύσις πονηρὰ πλημμελεῖν ἐὰν μέλλῃ,
μετ' εὐλόγου μὴ cκήψεως δυνηθεῖcα
ἀπαραφυλάκτως μὴν πονηρὰ ποιεῖται.]

## 189

Ἀλέκτοράς τις οἰκίῃ ⟨ποτ'⟩ ἐνθρέψας,
πέρδικ' ἀγοράcας θεῖν ἀφῆκε cὺν κείνοις.
τούτων δὲ τυπτόντων cφόδρ' αὐτὸς ἠθύμει
ὡς ἀλλόφυλος τοῦτο νενομικῶς πάσχειν.
ὡς δὲ μετὰ μικρὸν μαχομένους ἑωράκει,
ἀποθεραπευθεὶς εἶπεν· ʽοὐχὶ λυποῦμαι·
ὁρῶ γὰρ αὐτοὺς μαχομένους πρὸς ἀλλήλους.'
[φρόνιμοι φέρουσι ῥᾳδίως ὕβρεις ἄλλων,
αὐτοὺς ἀφειδεῖς ὅταν ἴδωσιν οἰκείων.]

## 190

ʽΑλιεῖς σαγήνην εἷλκον· ἧς βαρυνθείσης
ἔχαιρον, ὠρχοῦντ', ὥσπερ ἐξ ἄγρης πλήθους.

---

ἔργων ἐγείρεσθαι, πάλιν ὁ αἴλουρος αἰτίαν ἐπέφερεν, ὡς ἀσεβὴς εἴη περὶ τὴν φύσιν μητρὶ καὶ ἀδελφαῖς συμμιγνύμενος. τοῦ δέ καὶ τοῦτο πρὸς ὠφέλειαν τῶν δεσποτῶν πράττειν φήσαντος πολλῶν αὐτοῖς ἐντεῦθεν ᾠῶν τικτομένων, ὁ αἴλουρος εἰπών· ʽἀλλ' εἰ σύ γε πολλῶν εὐπορεῖς εὐπροσώπων ἀπολογιῶν, ἔγωγε μέντοι ἄτροφος οὐ μενῶ' τοῦτον κατεθοινήσατο. — ʽΟ μῦθος δηλοῖ ὅτι ἡ πονηρὰ φύσις πλημμελεῖν αἱρουμένη, εἰ μὴ μετ' εὐλόγου δυνηθείη προσχήματος, ἀπαραφυλάκτως γε μὴν πονηρεύεται. **C** — 1–[16] rest. **G**

**189** **F** 16 **C** 10 Aug. 23 Eberhard p. 94 Ἀλεκτρυόνας τις ἔχων ἐπὶ τῆς οἰκίας, πριάμενος καὶ πέρδικα σὺν ἐκείνοις ἀφῆκε νέμεσθαι. τῶν δὲ τυπτόντων καὶ ἀπελαυνόντων ἐκεῖνος ἠθύμει σφόδρα νομίζων ὡς ἀλλόφυλος ταῦτα πάσχειν ὑπὸ τῶν ἀλεκτρυόνων. ὡς δὲ μετὰ μικρὸν κἀκείνους ἑώρακε μαχομένους καὶ ἀλλήλους κόπτοντας, τῆς λύπης ἀπολυθεὶς εἶπεν· ʽἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν οὐ λυπήσομαι, ὁρῶν καὶ αὐτοὺς μαχομένους ἀλλήλοις'. — ʽΟ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι ῥᾳδίως φέρουσι τὰς παρὰ τῶν ἀλλοτρίων ὕβρεις, ὅταν αὐτοὺς ἴδωσι μηδὲ τῶν οἰκείων ἀπεχομένους. **C** — 1 7 et [8–9] rest. **G** 2 ἀγόραcας **G**] περιτυχὼν πέρδικι καὶ τοῦτον ἐπαγοράσας **F** 6—7 αὐτοὺς θεωρῶν μαχομένους πρὸς ἀλλήλους? τὸ λοιπὸν ἤδη, φησίν, οὐχὶ λυποῦμαι? Eberhard ταῦτα ὁ πέρδιξ ὁρῶν ἀποθεραπευθεὶς ἔφη· ʽἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν οὐ λυποῦμαι, ὁρῶ γὰρ αὐτοὺς μαχομένους ὑπ' ἀλλήλων.' **F**

**190** **F** 28 **C** 13 Eberhard 155 ʽΑλιεῖς εἷλκον σαγήνην. βαρείας δὲ αὐτῆς οὔσης ἔχαιρον καὶ ἐσκίρτων πολλὴν εἶναι τὴν ἄγραν νομίζοντες. ὡς δ' ἐπὶ τῆς ἠιόνος αὐτὴν ἑλκύσαντες τῶν μὲν ἰχθύων εὗρον ὀλίγους, λίθον δ' ἐν αὐτῇ παμμεγέθη, ἀθυμεῖν ἤρξαντο καὶ ἀλύειν οὐ τοσοῦτον ἐπὶ τῇ τῶν ἰχθύων ὀλιγότητι ὅσον ὅτι καὶ τἀναντία προσαπειλήφασιν. εἷς δέ τις ἐν αὐτοῖς πρεσβύτερος εἶπε· ʽμὴ ἀχθώμεθα, ὦ ἑταῖροι· τῇ γὰρ ἡδονῇ, ὡς ἔοικεν, ἀδελφή ἐστιν ἡ λύπη. καὶ ἡμᾶς οὖν δεῖ τοσαῦτα προησθέντας πάντως τι καὶ λυπηθῆναι'. **C** — 1—9 rest. **G** 1 ἁλιεῖς

ὡς δ' ἑλκύσαντες ἰχθύας μὲν οὐχ εὗρον
πολλούς, λίθον δὲ παμμέγιστον ἐν ταύτῃ,
ἤρξαντ' ἀλύειν οὐ τοσοῦτον . . .
. . . . . . . . . . .   . . . . . . . .
εἷς τις δ' ἐν αὐτοῖς ὢν γέρων ἔφη ⟨ταῦτα⟩·
'. . . . . . . . . . . . . . . . . . . .
χαρᾶς γὰρ ⟨αἰέν⟩, ὡς ἔοικεν, ἡ λύπη
ἀδελφεή ⟨τίς⟩ ἐστιν· ὥστε δεῖν ἥμας
τοσαῦτα γηθήσαντας αὖ τι λυπεῖσθαι.'

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ λυπεῖσθαι ἐπὶ ταῖς ἀποτυχίαις.

## 191

Ἄνθρωπος, ὅστις ⟨ποτὲ⟩ φόνον πεποιήκει,
ἐδιώκεθ' ὑπὸ τῶν συγγενῶν φονευθέντος.
τῷ δὲ κατὰ Νεῖλον ὡς λέων ἀπηντήκει,
ἀνέβη φοβηθεὶς ἐπί τι δένδρον ἐν ῥείθρῳ.
δράκοντα δ' εὑρὼν ὑπεράνω ⟨γε⟩ τοῦ δένδρου
πάλιν φοβηθεὶς αὑτὸν εἰς βάθος ῥίπτει,
κροκόδειλος ἔνθ' ἀνδροφόνον ⟨αἶψ'⟩ ἐθοινᾶτο.

Ὁ μῦθος δηλοῖ ὅτι τοὺς φονεῖς τῶν ἀνθρώπων οὔτε γῆ οὔτε ἀὴρ οὔτε ὕδατος στοιχεῖον οὔτε ἄλλος τόπος φυλάττει.

## 192

Ἐλθόντες ἁλιεῖς εἰς ἄγραν ταλαιπώρως
ὡς οὐδὲν εἷλον, σφόδρα ⟨πάντες⟩ ἠθύμουν
καὶ πάλιν ἐβουλήθησαν ⟨ἐπ⟩αναχωρῆσαι.

---

σαγήνην εἷλκον. Eberhard   2 ἔχαιρον καὶ ὠρχοῦντο **F** Aug. ἔχαιρον ἐσκίρτων versus clausulam esse suspicatur Eberhardus   3—5 ὡς δὲ εἵλκυσαν αὐτήν, ἰχθύας μὲν εὗρον ὀλίγους, λίθον δὲ μέγιστον ἐν τῇ σαγήνῃ ἀνήγαγον **F** ὡς δὲ ἑλκύσαντες ἐπὶ τὴν ἠόνα τὸν μὲν ἰχθὺν ὀλίγον εὗρον, λίθων δὲ καὶ ἄμμων μεστὴν τὴν σαγήνην Aug. ὡς ἑλκύσαντες ⟨οὖν⟩ ἐπ' ἠόνος ταύτην Ὀλίγους μὲν εὗρον ἰχθύας... σαγήνην.. λίθων πλήρη, Ἤρξαντ' ἀλύειν Eberhard   6 ὢν γέρων **G**] γηραιὸς ὢν Aug. ..εἷς δέ τις λίην Γέρων ἐν αὐτοῖς εἶπε? Eberhard   7—8 χαρᾶς γάρ, ὡς ἔοικεν, ἀδελφὴ ἐστιν ἡ λύπη **F** Aug. χαρᾶς ἀδελφή, φασίν, ἐστὶν ἡ λύπη? Eberhard   epim. **C**

**191** **F** 29 = **C** p. 351 **C** $160^{1-2}$ Aug. 32 Ἄνθρωπός τις φόνον ποιήσας ἐδιώκετο ὑπὸ τῶν συγγενῶν τοῦ φονευθέντος. γενομένου δὲ αὐτοῦ κατὰ τὸν ποταμὸν τὸν Νεῖλον λέοντα ἰδὼν καὶ φοβηθεὶς ἀνέβη εἰς δένδρον. εὗρε δὲ δράκοντα ἐπάνω τοῦ δένδρου καὶ πάλιν (πάλιν om. **C**) τοῦτον φοβηθεὶς ἔρριψεν ἑαυτὸν εἰς τὸν ποταμόν. ἐν δὲ τῷ ποταμῷ κροκόδειλος αὐτὸν κατεθοινήσατο (κατέφαγεν αὐτόν **C**). **F** $\mathbf{C}^2$ — 1—7 rest. **G**   3—4 γενόμενος δὲ κατὰ τὸν Νεῖλον (Νεῖλον τὸν Aug.) ποταμὸν λύκου αὐτῷ ἀπαντήσαντος φοβηθεὶς ἀνέβη ἐπὶ δένδρον τῷ ποταμῷ παρακείμενον κἀκεῖ ἐκρύπτετο. $\mathbf{C}^1$ Aug.   epim. **F** $\mathbf{C}^2$   οὔτε ὕδωρ $\mathbf{C}^2$

**192** **F** 35 = **C** p. 289 **C** 17 Aug. 21 Ἁλιεῖς ἐξελθόντες ἐπ' ἄγραν ἐπειδὴ πολὺν χρόνον ταλαιπωρήσαντες οὐδὲν εἷλον, σφόδρα τε ἠθύ-

εὐθὺς δὲ θύννος μεῖζον' ἰχθὺν ἐκφεύγων
εἰσήλατ' εἰς τὸ πλοῖον· οἱ δ' ἐφησθέντες
εἰς πόλιν ἀνῆλθον ἰχθὺν εὐθὺ πωλῆσαι.
[ἃ μὴ τέχνη, παρέσχε πολλάκις τύχη.]

## 193

Ἀνήρ τις ὑπὸ χειμῶνος ἐν προαστείῳ
ὡς ἐναποληφθεὶς τῆς τροφῆς ἐρημώθη,
πρῶτον τὰ πρόβατα κατέφαγ', εἶτα τὰς αἶγας.
ἐπεὶ δὲ χειμὼν ἔμενε, καὶ βόας σφάττει.
κύνες δὲ ταῦτ' ἰδόντες εἶπον ἀλλήλοις·
'φεύγωμεν ἀλλ' ἡμεῖς γε ⟨θᾶσσον⟩ ἐντεῦθεν·
ὁ δεσπότης γὰρ εἴ⟨περ⟩ οὐδὲ σπουδαίων
βοῶν ἀπέσχετ', ἆρα φείσεταί ⟨γ'⟩ ἥμων;'

Ὁ μῦθος δηλοῖ ὅτι τούτους μάλιστα φεύγειν καὶ φυλάττεσθαι χρὴ οἵτινες οὐδὲ τῶν οἰκείων ἀπέχονται.

## 194

Χήρη φίλεργος τὰς θεραπίδας εἰώθει
πρὸς ᾆσμ' ἐγείρειν τῶν ἀλεκτόρων νύκτωρ.
αἱ δὲ συνεχῶς ἔργοισι καταπονηθεῖσαι
τὸν ἐπ' οἰκίης ἀλέκτορ' ἤθελον πνίγειν·
κεῖνον γὰρ ᾢοντ' αἴτιον κακῶν εἶναι

---

μουν καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. εὐθὺς δὲ θύννος ὑπό του τῶν μεγίστων διωκόμενος ἰχθύων εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο. οἱ δὲ τοῦτον λαβόντες, μεθ' ἡδονῆς ἀνεχώρησαν. — Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη ἐδωρήσατο. **C** 17 — 1–6 rest. **G** 2—3 λυπούμενοι δὲ ἐβούλοντο ἀναχωρῆσαι ἄπρακτοι **F** 5–6 λαβόντες δὲ αὐτὸν οἱ ἁλιεῖς μετὰ χαρᾶς εἰσῆλθον ἐν τῇ πόλει καὶ ἐπώλησαν αὐτίκα **F** [7] iambum purum rest. **G**

**193** **F** 43 = **C** p. 292 **C** 23 Aug. 52 Ἀνήρ τις ὑπὸ χειμῶνος ἐν τῷ αὐτοῦ προαστείῳ ἀποληφθεὶς καὶ τροφῆς ἀπορῶν πρῶτα μὲν τὰ πρόβατα κατέφαγεν, εἶτα τὰς αἶγας. τοῦ δὲ χειμῶνος ἐπικρατοῦντος καὶ τοὺς ἐργάτας βοῦς σφάξας ἐθοινήσατο. οἱ δὲ κύνες ταῦτα ἰδόντες διελέχθησαν πρὸς ἀλλήλους· 'φεύγωμεν ἀλλ' ἡμεῖς γε ἐντεῦθεν· εἰ γὰρ τῶν ἐργατῶν βοῶν ὁ δεσπότης ἡμῶν οὐκ ἐφείσατο, πῶς ἡμῶν φείσεται; **C** 23 — 1—8 rest. **G** 2 ἐναποληφθεὶς **F** Aug. 3 τὸ μὲν πρῶτον Aug. 4 ἐπεὶ (ἐπεὶ δὴ Aug.) δὲ ὁ χειμὼν (ἔτι add. **F**) ἐπέμενε, καὶ τὰς αἶγας κατεθοινήσατο **F** Aug. 7—8 'ἀπιτέον ἡμῖν ἐντεῦθεν· ὁ δεσπότης γὰρ εἰ οὐδὲ τῶν συνεργαζομένων βοῶν ἀπέσχετο, ἡμῶν πῶς φείσεται;' Aug. epim. **C**

**194** **F** 44 = **C** p. 316 **C** 79 Aug. 55 Γυνὴ χήρα φίλεργος θεραπαινίδας ἔχουσα ταύτας εἰώθει νυκτὸς ἐπὶ τὰ ἔργα ἐγείρειν (διεγείρειν **F**) πρὸς ἀλεκτρυοφωνίαν (ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς **C**). αἱ δὲ συνεχῶς καταπονούμεναι (τῷ πόνῳ ταλαιπωρούμεναι **C**) ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀλέκτορα ἀποπνῖξαι. ἐκεῖνον γὰρ ᾤοντο τῶν κακῶν αἴτιον εἶναι νύκτωρ ἐγείροντα τὴν δέσποιναν (ἀποκτεῖναι ἀλεκ-

⟨ὡς⟩ ἐξεγείροντ' ⟨οἰκο⟩δεσπότιν νύκτωρ.
αὐταῖς δὲ συνέβη τὸν φόνον περανάσαις
χαλεπωτέροις δεινοῖσιν ⟨αὐτίκ'⟩ ἐμπίπτειν.
ἡ κυρίη γὰρ ἐννυχώτερον ταύτας
ἀλεκτόρων ἤγειρεν ἀγνοοῦς' ὥρην.

Οὕτω πολλοῖς ἀνθρώποις τὰ ἴδια βουλεύματα κακῶν αἴτια γίνονται.

## 195

Ορτῶν ἐπῳδάς τις γυνὴ μάγος θείων
. . . . . . . . . . . . . . . . . . . . . .
ποιοῦσα πολλὰ διετέλει ⟨τε⟩ κἀκ τούτου
. . . . . . οὐ μικρὰ βιοποριςθεῖςα
* * * * * * * * * * * * * * * * * *
ἀπαγομένην δ' ἰδών τις εἶπε ⟨τοιαῦτα⟩·
'οὐ τὰς μὲν ὀργὰς ἀποτρέπειν ἐπηγγέλλου
τῶν δαιμόνων; πῶς οὐδ' ἔπειθες ἀνθρώπους';

Ὁ λόγος οὗτος πρὸς ἀπατεῶνας καὶ μεγάλα ὑποσχομένους· εἶτα οὗτοι ἐν μικροῖς ἐλέγχονται.

## 196

Σκάπτων γεωργὸς χρυσὸν εὗρεν ἐν γαίῃ.
Γῆν οὖν ἔστεψ' ὡς ὠφελούμενος ταύτῃ.
τῷ δ' ἡ Τύχη 'πιστᾶσά φησιν· 'ὦ οὗτος·
τί τἀμὰ δῶρα σὺ προσανατίθης Γαίῃ,
ἁγὼ δέδωκα πλουτίσαι τέ ς' ἐζήτουν;

---

τρυόνα ὡς ἐκείνου νύκτωρ ἐξανιστάντος τὴν δέσποιναν C). συνέβη δὲ αὐταῖς τοῦτο πραξάσαις (διαπραξαμέναις C) χαλεπωτέροις τοῖς δεινοῖς περιπεσεῖν (περιπεσεῖν τοῖς δεινοῖς C)· ἡ γὰρ δέσποινα (δεσπότις C) ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων φωνὴν νυκτερινὰς (ὥραν ἐννυχώτερον C) ταύτας ἐξήγειρε (ἀνίστη C; pro συνέβη ... ἐξήγειρε F haec habet: τούτου γοῦν γενομένου ἡ κυρία αὐτῶν νυκτιάτερον ἤγουν ταχυνώτερον αὐτὰς ἤγειρεν ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν.) Aug. FC 79 — 1—10 rest. G epim. Aug. FC ἴδια om. C

**195** F 45 = C p. 316 C 80 Aug. 56 Γυνὴ μάγος ἐπῳδὰς θείων μηνιμάτων ἐπαγγελλομένη διετέλει πολλὰ ποιοῦσα κἀκ τούτου οὐ μικρὰ βιοποριςθεῖςα. ἐπὶ τούτῳ γραψάμενοί τινες αὐτὴν ὡς καινοτομήσασαν περὶ τὰ θεῖα εἰς δίκην ὑπήγαγον καὶ κατηγορήσαντες κατεδίκασαν αὐτὴν ἐπὶ θανάτῳ. θεασάμενος δέ τις αὐτὴν ἐκ τῶν δικαστηρίων ἔφη αὐτῇ· 'τὰς (em. G. πῶς Aug.) δαιμόνων ὀργὰς τρέπειν ἐπαγγελλομένη πῶς οὐδὲ ἀνθρώπους πεῖσαι ἠδυνήθης'; Aug. — 1–6 rest. G. 4 ἰδὼν δέ τις ἀπαγομένην αὐτὴν ἔφη C 5—6 οὐ τὰς τῶν δαιμόνων ὀργὰς ἀποτρέπειν ἐπηγγέλλου F epim. Aug.

**196** F 51 = C p. 317 C 82 Aug. 61 Eberhard 163 Γεωργός τις χρυσίον εὑρὼν ἐν γαίῃ σκάπτων ἔστεφε (G cum C Aug. ἔστρεφε F) τὴν γῆν καθημέραν

⟨cὺ⟩ γὰρ ἢν ὁ καιρὸς τὴν φύςιν μεταλλάξῃ
ἔλθῃ τε πρὸς ἑτέρους τὸ χρυςίον τοῦτο,
ἐνταῦθα πάλιν ἔμ', οἶδα, τὴν Τύχην, μέμψῃ'.

Ὁ λόγος διδάςκει, ὅτι χρὴ γινώςκειν τὸν εὐεργέτην καὶ τούτῳ χάριτας ἀποδιδόναι.

## 197

Δηχθείς τις ὑπὸ κυνός ⟨γ'⟩ ἰατρὸν ἐζήτει.
τῷ δ' ἐντυχών τις γνούς θ' ὁποῖον ἰχνεύει
'ὦ οὗτος' εἶπεν 'εἰ θέλεις ⟨cὺ⟩ cωθῆναι,
ἄρτον λαβὼν πληγῆς τε λύθρον ἐκμάξας
⟨ἔπειτα⟩ τῷ δακόντι κυνὶ φαγεῖν δώςεις'.
κἀκεῖνος 'ἀλλ' εἴ' φηςί 'τοῦτο ποιήςω,
πόλεως κυςὶν δέον με πᾶςι δηχθῆναι'.

Ὁ μῦθος δηλοῖ ὅτι καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ εὐεργετούμενοι μᾶλλον ἀδικεῖν παροξύνονται.

## 198

Ἄρκτου δυοῖν φίλοιςί ⟨ποτε⟩ ςυναντώςης
ὁ μὲν εἷς φοβηθεὶς ἐπί τι δένδρων ἐμβαίνων
ἐνταῦθ' ἐκρύπτετ' ⟨εὐθύς⟩· ὁ δ' ἕτερος μέλλων
* * * * * * * * * * * * *
ἡ δ' ἄρκτος ὑπολαβοῦςα νεκρὸν . . .

---

ὡς εὐεργετηθεὶς παρ' αὐτῆς. τούτῳ δὲ ἐπιςτᾶςα ἡ τύχη φηςίν· 'ὦ οὗτος, τί τῇ γῇ τὰ ἐμὰ δῶρα πτοςτίθεις, ἅπερ ἐγώ ςοι δέδωκα, πλουτίςαι βουλομένη ςε; ἂν γὰρ ὁ καιρὸς μεταλλάξῃ τὴν φύςιν καὶ εἰς ἄλλας χρείας μοχθηρὰς ἀναλώςῃ, πάλιν τὴν τύχην μέμψῃ'. **F** Γεωργός τις ςκάπτων χρυςίῳ περιέτυχε. καθ' ἑκάςτην οὖν τὴν Γῆν ὡς ὑπ' αὐτῆς εὐεργετηθεὶς ἔςτεφε. τῷ δὲ ἡ Τύχη ἐπιςτᾶςά φηςιν· 'ὦ οὗτος', τί τῇ Γῇ τὰ ἐμὰ δῶρα προςανατίθης, ἅπερ ἐγώ ςοι δέδωκα πλουτίςαι ςε βουλομένη; εἰ γὰρ ὁ καιρὸς μεταβάλοι καὶ πρὸς ἑτέρας χεῖρας τοῦτό ςοι τὸ χρυςίον ἔλθοι, οἶδ' ὅτι τηνικαῦτα ἔμὲ τὴν Τύχην μέμψῃ'. **C** — 1 rest. Eberhardus 2–8 rest. **G** epim. **F**

**197** **F** 55 = **C** p. 293 **C** $25^{1-2}$ Aug. 64 Δηχθείς τις ὑπὸ κυνὸς τὸν ἰαςόμενον περιῄει ζητῶν. ἐντυχὼν δέ τις αὐτῷ καὶ γνοὺς ὃ ζητεῖ 'ὦ οὗτος' εἶπεν 'εἰ ςώζεςθαι βούλει, λαβὼν ἄρτον καὶ τούτῳ τὸ αἷμα τῆς πληγῆς ἐκμάξας τῷ δακόντι κυνὶ φαγεῖν ἐπίδος. κἀκεῖνος γελάςας ἔφη· 'ἀλλ' εἰ τοῦτο ποιήςω, δεήςει με ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυνῶν δηχθῆναι. **C** $25^{1}$ — 1–7 rest. **G** 1 ἐζήτει Aug. **C**$^{2}$ 3 θέλειϲ **F** 7 δέον ἐςτὶν ἵνα... δηχθήςωμαι **F** epim. **C**$^{1}$

**198** Epim. Georgid. Gnomol. p. 90 **F** 57 = **C** p. 386 **C** $249^{1-2}$ Aug. 65 Eberhard (Anal. Babr. p. 190, 26) – Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. καὶ δὴ ἄρκτου αὐτοῖς ςυναντηςάςης ὁ μὲν εἷς φοβηθεὶς ἐπί τι (ex **C**$^{4}$ em. **G** ἐπὶ τὸ **F**) δένδρον ἀναβὰς ἐκρύβη ἐν αὐτῷ· ὁ δὲ ἕτερος περιγενέςθαι αὐτῆς μὴ δυνηθεὶς μόνος ὡς εἶδεν αὐτὸν κυριευόμενον παρὰ τῆς ἄρκτου

* * * * * * * * * * * * *

τοῖϲ ἐν φίλων μὴ παραμένουϲι κινδύνοιϲ᾽.
Τοὺϲ γνηϲίουϲ τῶν φίλων αἱ ϲυμφοραὶ δοκιμάζουϲιν.

## 199

Γυνή τιϲ οὖϲα θυγατέρων δυοῖν μήτηρ
ϲυνῆψε ταύταϲ ἀνδράϲιν ⟨γε τεχνίταιϲ⟩,
κηπεῖ μίην μέν, ὀϲτρακεῖ δὲ τὴν ἄλλην.
ἐλθοῦϲα τοίνυν πρὸϲ γυναῖκα τοῦ πρώτου
τά τ᾽ ἄλλ᾽ ὁμιλεῖ πῶϲ τ᾽ ἔχοι διηρώτα.
ἡ δέ ‘τὰ μὲν ἄλλα, μῆτερ᾽, εἶπεν ‘εὖ πράττω·
εὔχου δὴ λαχάνοιϲ τοῖϲ ⟨ἐμοῖϲ⟩ φορὴν ὄμβρων,
ὡϲ προϲγένοιτ᾽ αὔξηϲιϲ ⟨αἰὲν⟩ ὡραίη᾽.
ἔπειτα πρὸϲ τὴν κεραμέωϲ ἀφικνεῖται.
ἤκουϲε δ᾽, ὡϲ αὖ τοῖϲ τὸ πρὶν διηρώτα,
‘τὰ μὲν ἄλλα, μῆτερ, εὖ τε καὶ καλῶϲ ἡμιν.
⟨ϲὺ⟩ δ᾽ αἰθρίην ἡμῖν τε χἡλίουϲ εὔχου,
κεραμίδεϲ ὡϲ ψύχοιντο θᾶττον ἂν ⟨πλεῖϲται⟩᾽.
πρὸϲ ταῦτα ‘ϲοὶ μὲν αἰθρίην᾽ ἔφη μήτηρ
‘δοῖεν θεοί, τῇ δ᾽ ὑετούϲ ⟨γε⟩ παμπόλλουϲ᾽.
[οἳ μηδὲν ἴδιον ⟨κτῆμ᾽⟩ ἔχουϲι δωρῆϲαι,
ἐπαγγελοῦνται ῥᾳδίωϲ τὰ τῶν ἄλλων.]

---

πεϲὼν ἐπὶ τὴν γῆν προϲεποιεῖτο τεθνάναι. ἐλθούϲηϲ δὲ αὐτῆϲ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ὠϲφραίνετο διὰ τοῦ ῥύγχουϲ τῶν ἀκοῶν αὐτοῦ καὶ τῶν φρενῶν. ὁ δὲ τὰϲ ἀναπνοὰϲ αὐτοῦ ἐκράτει εὐτόνωϲ. ἡ δὲ ἄρκτοϲ ὑπολαβοῦϲα νεκρὸν αὐτὸν ὑπάρχειν ἀπῄει· φαϲὶ γὰρ ὅτι νεκροῦ ἡ ἄρκτοϲ οὐχ ἅπτεται. ἀπαλλαγείϲηϲ δὲ αὐτῆϲ ὁ ἕτεροϲ καταβὰϲ ἀπὸ τοῦ δένδρου ἐπυνθάνετο, τί ἂν πρὸϲ τὸ οὖϲ ἐλάλει αὐτῷ ἡ ἄρκτοϲ. ὁ δὲ εἶπεν ὅτι ἔφη πρόϲ με ἡ ἄρκτοϲ ὥϲτε ἀπὸ τοῦ νῦν τοιούτοιϲ μὴ ϲυνοδοιπορεῖν (ex **C**[1] em. **G** ϲυνοδοπορεῖν **F**) φίλοιϲ οἳ ἐν κινδύνοιϲ οὐ παραμένουϲιν. **F** — 1—5 rest. **G** 1—2 ὁ μὲν εἰϲ φθάϲαϲ ἀνέβη ἐπί τι δένδρον καὶ ἐνταῦθα ἐκρύπτετο· ὁ δὲ ἕτεροϲ μέλλων περικατάληπτοϲ γίνεϲθαι... **C**[1] epim. Georgid. **FC**[1] nisi quod **FC** habent Ὁ μῦθοϲ δηλοῖ ὅτι τοὺϲ... δοκιμάζουϲιν. praeterea **F** aliud epim. praebet

**199** **F** 77 = **C** p. 394 **C** 265[1–2] Aug. 95 Eberhard 180 Γυνή τιϲ θυγατέρων οὖϲα δυοῖν μήτηρ ἀνδράϲι ϲυνῆψε ταύταϲ, τὴν μὲν κηπωρῷ, θατέραν δὲ κεραμεῖ. ἐλθοῦϲα τοίνυν ποτὲ πρὸϲ τὴν τῷ κηπωρῷ γεγαμημένην τά τε ἄλλα ὡμίλει καὶ πῶϲ ἔχοι διηρώτα. ἡ δέ ‘τὰ μὲν ἄλλα, μῆτερ᾽, ἔφη ‘καλῶϲ· εὔχου δὲ ὄμβρων φοράν, ὡϲ τοῖϲ λαχάνοιϲ αὔξηϲιϲ ἡ κατὰ νόμουϲ προϲγένοιτο᾽. ἐκεῖθεν δ᾽ ἐξελθοῦϲα καὶ πρὸϲ τὴν ϲυνοικοῦϲαν τῷ κεραμεῖ ἀφικνεῖται. τοῖϲ δ᾽ αὐτοῖϲ χρηϲαμένη καὶ πρὸϲ ἐκείνην ἤκουϲεν ὡϲ ‘τὰ μὲν ἄλλα καλῶϲ ἡμῖν, ὦ μῆτερ, ἔχει· εὔχου δ᾽ αἰθρίαν ἡμῖν καὶ ἡλίουϲ γίνεϲθαι θερμοτέρουϲ τε καὶ καθαρωτέρουϲ, ὡϲ ἂν θᾶττον οἱ κέραμοι ψύχοιντο. καὶ ἡ μήτηρ πρὸϲ ταῦτα ἔφη· ‘ϲοὶ μὲν αἰθρίαν, τῇ δὲ τῷ κηπωρῷ ϲυνοικούϲῃ παμπόλλουϲ ὑετοὺϲ δοῖεν οἱ θεοί᾽. — Ὁ μῦθοϲ δηλοῖ, ὅτι οἳ μηδὲν ἐκ τῶν ἰδίων ἔχουϲι χαρίζεϲθαι, ῥᾳδίωϲ τοῖϲ αἰτοῦϲι τὰ τῶν ἄλλων ἐπαγγέλλονται. **C** 265[2] — 1—[17] rest. **G** Eberhardus haec verba Babriana esse existimat: θυγατέρων δυοῖν μήτηρ (1).. ἐλθοῦϲα τοίνυν (4).. τά τ᾽ ἄλλ᾽ ὡμίλει (sic! 5).. καὶ πῶϲ ἔχει διηρώτα (5).. τὰ μὲν ἄλλα μῆτερ (6).. φορὰν ὄμβρων (7).. αἰθρίαν ἡμιν (versus clausulam suspicatus; (12).. ϲυνοικούϲῃ.. παμπόλλουϲ (15).

## 200

῾Οδοιποροοῦντες δύο ⟨τινὲς⟩ θέρους ὥρῃ
* * * * * * * * * * * * * * * * * * *
βλέψαντες εἰς τὴν πλάτανον ἔλεγον ἀλλήλοις·
῾ἀνωφελές τι τοῦτο τοῖσιν ἀνθρώποις
κἄκαρπόν ἐστι δένδρον᾽. ἡ δὲ πρὸς τούτους
῾τῆς μου σκιᾶς, ἀχάριτες᾽, εἶπε, ῾ψυχούσης
ἄκαρπον ⟨ὑμεῖς⟩ μ᾽ ἀποκαλεῖτε κἀχρείην᾽;

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι ἀτυχεῖς εἰσιν οἳ καὶ εὐεργετοῦντες τοὺς πέλας ἐξ αὐτῶν μᾶλλον ἀχαριστοῦνται.

## 201

Ὄνος τις ἦν κηπεῖ ⟨ποτ᾽⟩ ὀλίγα βιβρώσκων,
ὃς κακοπαθήσας πολλὰ τὸν Δί᾽ ᾐτήκει,
τοῦ κηπέως μὲν αὐτὸν ὡς ἀπαλλάξῃ,
ἑτέρῳ δὲ ⟨δοῦλον⟩ δεσπότῃ ⟨παρ⟩εκδώσει.
⟨πρὸς κηπέα⟩ Ζεὺς οὖν ἔπεμψεν Ἑρμείην
ἐκέλευσέ τ᾽ αὐτὸν εἰς κεραμέα πωλῆσαι.
ὁ δὲ πάλιν ἐδυσχέραινε πλεῖον ἢ πρῶτον
ἀχθηφορῶν τὸν πηλὸν εἰς τὸ πλινθεύειν.

---

**200** **F** 129 = **C** p. 387 **C** 251 Aug. 170 ʽΟδοιπόροι δύο (δύο om. **FC**) θέρους ὥρᾳ περὶ μεσημβρίαν ὑπὸ καύματος τρυχόμενοι ὡς ἐθεάσαντο πλάτανον ὑπὸ ταύτην (ταύτης **F**) καταντήσαντες καὶ ἐν τῇ σκιᾷ κατακλιθέντες ἀνεπαύοντο. ἀναβλέψαντες δὲ εἰς τὴν πλάτανον ἔλεγον πρὸς ἀλλήλους· ῾ὡς ἀνωφελές (ἀνώφελόν **F**) τι τοῦτο τοῖς ἀνθρώποις καὶ ἄκαρπόν ἐστι (ἀνωφελές ἐστι καὶ ἄκαρπον τοῦτο ἀνθρώποις **C** ἀνωφελὲς τοῦτο καὶ ἄκαρπον ἀνθρώποις ἐστὶ Aug.) τὸ δένδρον. ἡ δὲ ὑποτυχοῦσα (ἀποτυχοῦσα **F**) ἔφη (πρὸς αὐτούς add. **F**)· ῾ὦ ἀχάριστοι, ἔτι (ὅτι **C**) τῆς ἐξ ἐμοῦ εὐεργεσίας ἀπολαύοντες ἄκαρπόν με καί ἀχρείαν (ἀχρείαν με καὶ ἄκαρπον **C** Aug.) ἀποκαλεῖτε᾽; **FC** Aug. — 1–5 rest. **G** epim. **FC** ἔνιοι **F**] τινὲς οὕτω Aug. οἳ **F**] ὡς Aug. ἐξ αὐτῶν μᾶλλον ἀχαριστοῦνται **F**] ἐπὶ τῇ χρηστότητι ἀπιστεῖσθαι Aug. Οὕτω πολλοὶ ἀτυχεῖς εἰσι καὶ εὐεργετοῦντες τοὺς πέλας ἐξ αὐτῶν μᾶλλον ἀχαριστοῦνται. **C**

**201** **F** 132 = **C** p. 304 **C** 45 Aug. 175 Ὄνος κηπωρῷ δουλεύων ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πολλὰ δὲ ἐκακοπάθει, ηὔξατο τῷ Διί, ὅπως τοῦ κηπωροῦ αὐτὸν ἀπαλλάξῃ καὶ ἑτέρῳ δεσπότῃ αὐτὸν ἐκδώσει. ὁ δὲ Ζεὺς πέμψας (em. **G** ex **C** Aug. μέμψας **F**) ἐκέλευσεν εἰς κεραμέα πωλῆσαι. πάλιν δὲ αὐτοῦ δυσφοροῦντος ἐπειδὴ πολὺ πλέον ἀχθοφορεῖν ἠναγκάζετο ἐν τῷ πηλῷ καὶ τῇ πλινθείᾳ πάλιν τὸν Δία παρεκάλει. ʽΟ δὲ Ζεὺς παρεσκεύασε πραθῆναι αὐτὸν εἰς βυρσοδέψην. ὁ δὲ ὄνος εἰς χείρονα δεσπότην ἐμπεσὼν καὶ ὁρῶν τὰ παρ᾽ αὐτοῦ πραττόμενα, ἔφη μετὰ στεναγμοῦ· ῾οὐαί μοι τῷ τάλανι· αἱρετώτερον ἦν μοι παρ᾽ ἐκείνοις τοῖς δεσπόταις εἶναι, ἐπεὶ οὗτος, ὡς ὁρῶ, καὶ τὸ δέρμα μου μέλλει ἀνελεῖν. **F** — 1—15 rest. **G** 5—6 ὁ δὲ Ἑρμῆν πέμψας ἐκέλευε κεραμεῖ αὐτὸν πωλῆσαι Aug. 7—8 πάλιν ἐδυσφόρει πλέον ἢ πρότερον ἀχθοφορῶν καὶ τόν τε πηλὸν

πάλιν οὖν ἀμεῖψαι δεσπότην ἐβουλήθη·
ὃν βυρσοδέψῃ Ζεὺς ἔδωκε πραθῆναι.
εἰς δεσπότην ⟨οὖν⟩ ἐμπεσὼν ὄνος χείρω
μετὰ στεναγμῶν εἶπ᾽· ‘ἐμοὶ ταλαιπώρῳ
βέλτιον ἦν πρὸς δεσπόταις μένειν πρώτοις·
οὗτος γάρ, οἶδα, καὶ τὸ δέρμα βυρσεύσει
κοὐδ᾽ ἀποθανὼν ⟨ἔγωγε⟩ τεύξομαι τύμβου’.

Ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα τοὺς πρώτους δεσπότας ποθοῦσιν οἱ οἰκέται ὅταν πεῖραν λάβωσιν ἑτέρων.

## 202

* * * * * * * * * * * * *

ὁ δ᾽ ὁρῶν ἐκεῖνον μὴ δυνάμενον ⟨ἐκ⟩φεύγειν
πρώτην συνέσχε τὴν ἀλώπεκ᾽, εἶθ᾽ οὕτως
ἐπὶ τὸν ὄνον ἐτράπη ⟨τε καὶ⟩ . . .

Οὕτω οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες λανθάνουσι πολλάκις καὶ ἑαυτοὺς συναπολλύντες.

## 203

Τῶν ὀρνέων. . . . . . . . . . . . . .
ταὼς ἑαυτὸν βασιλέ᾽ ἠξίου . . . . . . . .
* * * * * * * * * * * * *
τῶν ὀρνέων, κολοιὸς εἶπε τοιαῦτα·
‘σοῦ δ᾽ ἤν ⟨γε⟩ βασιλεύοντος αἰετὸς ⟨μέλλῃ⟩
ἡμᾶς διώκειν, πῶς ἐπαρκέσεις ἥμιν;’

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ἄρχοντας οὐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

---

καὶ τοὺς κεράμους κομίζων **C** πλεῖον Aug. 9 πάλιν οὖν ἀμεῖψαι τὸν δεσπότην ἱκέτευε **C** 10 τὸ τελευταῖον ὁ Ζεὺς παρεσκεύασεν αὐτὸν βυρσοδέψῃ πωληθῆναι Aug. 7 sqq. μετὰ στεναγμῶν ἔφη· ‘οἴμοι τῷ ταλαιπώρῳ· βέλτιον ἦν μοι παρὰ τοῖς προτέροις δεσπόταις μένειν· οὗτος γάρ, ὡς ὁρῶ, καὶ τὸ δέρμα μου κατεργάσεται’. **C** καὶ ὁ ὄνος... ἔφη· ‘ἀλλ᾽ ἔμοιγε αἱρετώτερον ἦν παρὰ τοῖς προτέροις δεσπόταις ἀχθοφοροῦντι λιμώττειν ἢ ἐνταῦθα παραγενέσθαι ὅπου οὐδέ, ἂν ἀποθάνω, ταφῆς τεύξομαι’. Aug. epim. τότε μάλιστα **C** Aug.] τότε ποθοῦσιν **F**

**202** **F** 144 **C** p. 323 **C** 116 Aug. 187 Eberhard p. 94 Ὄνος καὶ ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους ἐξῆλθον ἐπὶ ἄγραν. λέοντος δὲ αὐτοῖς παρατυχόντος ἡ ἀλώπηξ ὁρῶσα τὸν ἐπηρτημένον κίνδυνον προσελθοῦσα τῷ λέοντι ὑπέσχετο παραδώσειν αὐτῷ τὸν ὄνον, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἀπαγγέλληται. τοῦ δὲ αὐτὴν ἀπολύειν φήσαντος προσαγαγοῦσα τὸν ὄνον εἰς τὴν παγίδα πεσεῖν παρεσκεύασε· καὶ ὁ λέων ὁρῶν ἐκεῖνον φυγεῖν μὴ δυνάμενον πρώτην τὴν ἀλώπεκα συνέλαβεν, εἶθ᾽ οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη. **F** — 1—3 rest. **G** 1 φεύγειν **C** Aug. 2 πρώτην **FC** πρῶτον Aug. συνέσχε **C** Aug.] συνέλαβε **F**

**203** **F** 183 = **C** p. 308[1] **C** 53 Aug. 216 Τῶν ὀρνέων βουλευσαμένων περὶ βασιλείας ταὼς (em. Halmius ex **F** ταὼν Aug.) ἠξίου χειροτονεῖσθαι ἑαυτὸν (em. Halmius ex **F** χειροτονῆσαι Aug.) βασιλέα διὰ τὸ κάλλος· ὁρμωμένων δὲ ἐπὶ τοῦτο τῶν ὀρνέων κολοιὸς εἶπεν· ‘ἀλλ᾽ ἐὰν σοῦ βασιλεύοντος ὁ ἀετὸς ἡμᾶς διώκῃ, πῶς ἡμῖν ἐπαρκέσεις’; Aug. — 1 — 5 rest **G** epim. **C**

## 204

Γαμοῦντα τὸν Δί' ἦλθε ζῷα δωρῆcαι·
ὄφιc δ' ἀνεῖρψεν ἀναλαβὼν ῥόδον γλώccῃ.
ἰδὼν δὲ τοῦτον Ζεὺc ἔφηcε ⟨τοιαῦτα⟩·
'ἄλλων ἁπάντων δῶρα λαμβάνω ⟨ζῴων⟩
κἀκ τῶν ποδῶν, coῦ δ' οὐδὲ δέξομαι γλώccηc'.
[πάντων πονηρῶν χάριτέc εἰcι θαμβοῦcαι.]

## 205

Καλάμουc λαβών τιc κἰξὸν ἦλθεν εἰc ἄγραν.
ἰδὼν δὲ κίχλαν ἐγκαθημένην δένδρῳ
καλάμουc ἀνῆψεν εἰc τὸ μῆκοc ἀλλήλοιc
ἐφορῶν τ' ἐc αὐτὴν cυλλαβεῖν ἐβουλήθη.
πρὸ τῶν ποδῶν δὲ κειμένην ἔχιν λάθρῃ
ἐπάτηcεν· ἡ δ' ἔπληξεν αὐτὸν ⟨ἐξαίφνηc⟩.
ὁ δὲ πρὸc αὐτὸν τὸν βίον μεταλλάττων
'ἕτερον, τάλαc ἔγωγε', φηcί 'θηρεῦcαι
βουλόμενοc εἰc ⟨τὸν⟩ θάνατον αὐτὸc ἠγρεύθην'.

Ὁ μῦθοc δηλοῖ ὅτι οἱ τοῖc πέλαc ἐπιβουλεύοντεc λανθάνουcι πολλάκιc ὑφ' ἑτέρων τοῦτ' αὐτὸ πάcχοντεc.

---

**204** **F** 184 = **C** p. 368 **C** 189 Aug. 218 Eberhard 168 Τοῦ Διὸc γαμοῦντοc πάντα τὰ ζῷα ἀνήνεγκαν δῶρα· ὄφιc δὲ ἕρπων ῥόδον ἀναλαβὼν τῷ cτόματι ἀνέβη. ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺc ἔφη· 'τῶν ἄλλων ἁπάντων καὶ ἐκ ποδῶν δῶρα δέχομαι, ἀπὸ δὲ coῦ τοῦ cτόματοc οὐ λαμβάνω'. — Ὁ λόγοc δηλοῖ ὅτι πάντων τῶν πονηρῶν αἱ χάριτεc φοβεραί. Aug. Τοῦ Διὸc γάμουc ποιοῦντοc πάντα τὰ ζῷα ἤνεγκαν (ἀνήνεγκαν **C**) δῶρα, ἕκαcτον κατὰ τὴν οἰκείαν (ἰδίαν **C**) δύναμιν. ὄφιc δὲ ἕρπων ῥόδον λαβὼν ἐν τῷ cτόματι ἀνέβη. ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺc ἔφη (εἶπε **C**)· 'τῶν ἄλλων πάντων τὰ δῶρα λαμβάνω, ἀπὸ δὲ τοῦ coῦ cτόματοc λαμβάνω οὐδ' ὅλωc (οὐ λαμβάνω **C**)'. — Ὁ μῦθοc δηλοῖ ὅτι τῶν πονηρῶν αἱ χάριτεc φοβεραί εἰcιν ("Οτι πονηρῶν αἱ χάριτεc φοβεραί εἰcιν **C**). **FC** — 1—[6] rest. **G** 4 ἄλλων, ἔφη, τὰ δῶρα λαμβάνω πάντων Eberhard

**205** **F** 225 = **C** 32 Aug. 114 Eberhard 161 Ἰξευτὴc ἰξὸν ἀναλαβὼν καὶ καλάμουc πρὸc ἄγραν ἐξῆλθεν. ἰδὼν δὲ κίχλαν ἐφ' ὑψηλοῦ δένδρου καθεζομένην καὶ τοὺc καλάμουc ἀλλήλοιc ἐπὶ μῆκοc cυνάψαc ἄνω πρὸc αὐτὴν cυλλαβεῖν βουλόμενοc ἐφεώρα (ἀφεώρα **C**). καὶ δὴ λαθὼν ἔχιν κοιμωμένην ὑπὸ τοὺc (τοὺc om. **F**) πόδαc ἐπάτηcε. τῆc δ' ὀργιcθείcηc καὶ δακούcηc αὐτὸν ἐκεῖνοc ἤδη λειποψυχῶν ἔλεγε· 'δύcτηνοc ἐγώ, ἕτερον γὰρ θηρεῦcαι βουλόμενοc αὐτὸc ὑφ' ἑτέρου ἠγρεύθην εἰc θάνατον'. **FC** Ἰξευτὴc ἀναλαβὼν ἰξὸν καὶ τοὺc καλάμουc ἐξῆλθεν ἐπ' ἄγραν. θεαcάμενοc δὲ κίχλαν ἐπί τινοc ὑψηλοῦ δένδρου καθημένην ταύτην cυλλαβεῖν ἠβουλήθη· καὶ δὴ ἀνάψαc εἰc μῆκοc τοὺc καλάμουc ἀτενὲc ἔβλεπεν ὅλοc ὢν πρὸc τῷ ἀέρι τὸν νοῦν. τοῦτον δὲ τὸν τρόπον ἄνω νεύων ἔλαθεν ἀcπίδα πρὸ τῶν ἑαυτοῦ ποδῶν κοιμωμένην πατήcαc, ἥτιc ἐπιcτραφεῖcα ἔπληξεν αὐτόν· ὁ δὲ λειποψυχῶν ἤδη ἔφη πρὸc ἑαυτόν· 'ἄθλιοc ἔγωγε, ὃc ἕτερον θηρεῦcαι βουλόμενοc ἔλαθον αὐτὸc ἀγρευθεὶc εἰc θάνατον'. – Οὕτωc οἱ τοῖc πέλαc ἐπιβουλὰc ῥάπτοντεc φθάνουcιν αὐτοὶ cυμφοραῖc περιπίπτοντεc. Aug. — 1—9 rest. **G** ἐξῆλθεν εἰc ἄγραν. ἰδὼν δὲ κίχλαν.. ἄνω πρὸc αὐτὴν, cυλλαβεῖν (δ' ἐβουλήθη).. εἰc θάνατον αὐτὸc ἠγρεύθην. Eberhard epim. **FC**

## 206

Παῖc ⟨τιc⟩ γεωργοῦ κοχλίαc ⟨ποτ' ἐξ⟩ώπτα.
αὐτῶν δ' ἀκούcαc εἶπε ⟨cφόδρα⟩ τρυζόντων·
'κάκιcτα ζῷα, τῶν γὰρ οἰκιῶν ὕμων
πυρουμένων αὐτοί ⟨γε πῶc⟩ δύναcθ' ᾄδειν;'

Ὁ μῦθοc δηλοῖ ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπονείδιcτον.

## 207

Φιλέρημόc ἐcτιν ἀλκυών ⟨τέ πωc⟩ ὄρνιc
κἀν τῇ θαλάccῃ τὸν βίον διατρίβει.
ταύτην λέγουcιν εὐλαβουμένην θήραc
cκοπέλοιc ἐν ἄκροιc ⟨αἰὲν⟩ ἐννεοττεύειν.
καὶ δὴ τεκεῖν μέλλουcά τίc ποτ' εἰc ἄκρην
ἐνεοττοποίει. τῆc δ' ἄνευθε βοcκούcηc
cυνέβη θάλαccαν πνευμάτων ὕπ' ἀρθῆναι
μέχρι τῆc καλιῆc ⟨πετρίνηc τε⟩ καὶ ταύτην
ἐπικλύcαcαν τοὺc γόνουc διαφθεῖραι.
ἡ δ' ἀλκυὼν οὖν ἐπανιοῦcά ⟨γ'⟩ ὡc ἔγνω
τὸ γεγονόc, εἶπεν· 'ἀλλ' ἔγωγε δειλαίη,
ἐπίβουλον ὥcπερ εὐλαβουμένη γαίην
κατέφυγον ἐπὶ θάλαccαν οὖcαν ἐχθίω.

Ὁ μῦθοc δηλοῖ ὅτι καὶ τῶν ἀνθρώπων ἔνιοι τοὺc ἐχθροὺc φυλαττόμενοι λανθάνουcι πολλῷ χαλεπωτέροιc τῶν ἐχθρῶν φίλοιc ἐμπίπτοντεc.

---

**206** **F** 236 **C** 78 Aug. 54 Eberhard 141 Γεωργοῦ παῖc κοχλίαc ὤπτα (ὤπτα κοχλίαc **FC**). ἀκούcαc δὲ αὐτῶν τρυζόντων (τριζόντων Aug.) ἔφη· 'ὦ κάκιcτα ζῷα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων αὐτοὶ ᾄδετε'; **FC** Aug. — 1—4 rest. **G** 1 Γεωργὸc ὤπτα κοχλίαc ἀριcτῆcαι Eberhardus ex tetrasticho apud Millerum 'facile ad litteram ω referas verborum ordine immutato: ὤπτα γεωργόc. alter v. exierit in τρυζόντων, alius in κάκιcτα τῶν ζῴων'. Eberhard. epim. **FC** Aug.

**207** **F** 240 **C** 86 Aug. 25 Ἀλκυὼν ὄρνιc ἐcτὶ φιλέρημοc ἀεὶ τῇ (ὀρνεόν ἐcτι φιλέρημον διὰ παντὸc ἐν Aug.) θαλάττῃ διαιτωμένη (διαιτώμενον Aug.). ταύτην λέγεται τὰc τῶν ἀνθρώπων θήραc φυλαττομένην ἐν cκοπέλοιc παραθαλαττίοιc νεοττοποιεῖcθαι. καὶ δή ποτε τίκτειν μέλλουcα (παρεγένετο εἴc τι ἀκρωτήριον καὶ θεαcαμένη πέτραν ἐπὶ θαλάccῃ ἐνεοττοποιεῖτο ἐνταῦθα. add. Aug.) ἐνεοττοποιήcατο. ἐξελθούcηc δέ ποτε αὐτῆc εἰc (δ' αὐτῆc ποτ' ἐπὶ Aug.) νομὴν cυνέβη τὴν θάλαccαν (θάλατταν **C**) ὑπὸ λάβρου κυματωθεῖcαν πνεύματοc ὑπεραρθῆναι (λάβρων πνευμάτων ἐξαρθῆναι κυματωθεῖcαν μέχρι Aug.) τῆc καλιᾶc καὶ ταύτην ἐπικλύcαcαν τοὺc νεοττοὺc διαφθεῖραι. καὶ ἡ ἀλκυὼν ἐπανελθοῦcα ὡc ἔγνω τὸ γεγονὸc, εἶπεν· 'ἀλλ' ἔγωγε δειλαία (ἡ δὲ ἐπανελθοῦcα καὶ γνοῦcα τὸ πραχθὲν εἶπε· 'δειλαία ἔγωγε **FC**), ἥτιc τὴν γῆν ὡc ἐπίβουλον φυλαττομένη ἐπὶ ταύτην κατέφυγον ἣ πολλῷ μοι γέγονεν ἀπιcτοτέρα'. **FC** Aug. — 1—13 rest. **G** epim. **FC** Οὕτω καὶ τῶν ἀνθρώπων Aug.

## 208

Δύο κύνας ἔχων τις τὸν μὲν ⟨εὐθὺ⟩ θηρεύειν
ἐδίδαξε, τὸν δ' οἰκουρὸν οἰκίης εἶναι.
καὶ δή τιν' εἴ ποθ' ὁ μὲν ἄγραν συνειλήφει,
οἰκοῦρος αὐτῷ συμμετεῖχε τῆς θοίνης.
* * * * * * * * * * * * *
ὁ δέ 'μὴ 'μέ,' φησί, 'τὸν δὲ δεσπότην μέμφου,
ὃς οὐ πονεῖν με ⟨ταὐτὰ σοί, τὰ τῆς θήρης⟩,
ἐδίδαξεν, ἐσθίειν δὲ τοὺς πόνους ἄλλων'.
[οὐ παίδων οἱ μηδὲν ἐπιστάμενοι ⟨κατά⟩μεμπτοί
εἰσ', ὅταν οἵ ⟨γε⟩ γονεῖς αὐτοὺς οὕτως ἀγάγωσιν.]

## 209

Καρκῖνος ἀναβὰς ἐνέμετ' ἐπί τινος χώρης.
κερδὼ δὲ λιμώττουσα τοῦτον ὡς εἶδεν,
προσιοῦσ' ἀνέλαβεν αὐτόν· ὁ δὲ θανεῖν μέλλων
'ἔγωγε' φησί 'ταῦτα σὺν δίκῃ πάσχω,
χερσαῖος εἶναι μᾶλλον ὡς ἐβουλήθην.'

Ὁ μῦθος δηλοῖ ὅτι καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλείποντες ἐπιτηδεύματα καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες εἰκότως δυστυχοῦσιν.

---

**208** **F** 245 **C** 92 Aug. 93 Ἔχων τις δύο κύνας τὸν μὲν (ἕτερον add. **FC**) θηρεύειν ἐδίδαξε, τὸν δὲ (λοιπὸν add. **FC**) οἰκουρὸν ἐποίησε (οἰκοφυλακεῖν **FC**). καὶ δὴ εἴ ποτε ὁ θηρευτικὸς ἤγρευέ τι (ἐξιὼν πρὸς ἄγραν συνελάμβανέ τι Aug.), καὶ ὁ οἰκουρὸς συμμετεῖχεν αὐτῷ τῆς θοίνης (ἐκ τούτου μέρος καὶ τῷ ἑτέρῳ παρέβαλλεν Aug.). ἀγανακτοῦντος δὲ τοῦ θηρευρικοῦ κἀκεῖνον (καὶ τὸν ἕτερον Aug.) ὀνειδίζοντος, εἴγε αὐτὸς μὲν καθ' ἑκάστην μοχθεῖ, ἐκεῖνος δὲ μηδὲν πονῶν τοῖς αὐτοῦ τρέφεται πόνοις, ὑπολαβὼν αὐτὸς εἶπε· 'μὴ ἐμέ, ἀλλὰ τὸν δεσπότην μέμφου (εἴγε αὐτὸς μὲν ἐξιὼν διόλου μοχθοίη, ὁ δὲ οὐδὲν ποιῶν τοῖς ἑαυτοῦ πόνοις ἐντρυφᾷ, ἐκεῖνος ἔφη πρὸς αὐτόν· 'ἀλλὰ μὴ ἐμὲ μέμφου, τὸν δεσπότην δέ Aug.), ὃς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλὰ πόνους ἀλλοτρίους (ἀλλ' ἀλλοτρίους πόνους Aug.) ἐσθίειν'. — Ὁ μῦθος δηλοῖ ὅτι (Οὕτω Aug.) καὶ τῶν παίδων (νέων **FC**) οἱ μηδὲν ἐπιστάμενοι (οἱ ῥᾴθυμοι Aug.) οὐ μεμπτοί εἰσιν (μεμπτέοι εἰσίν Aug.), ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἀγάγωσιν. **FC** Aug. — 1—7 rest. **G** [8—9] hexametros rest. **G**

**209** **F** 247 = **C** 95 Aug. 115 tetrastichon apud Millerum 5 p. 19, cf. Eberhard 158 Καρκῖνος ἀπὸ τῆς θαλάσσης ἀναβὰς ἐπί τινος ἐνέμετο τόπου. ἀλώπηξ δὲ λιμώττουσα ὡς ἐθεάσατο προσελθοῦσα ἀνέλαβεν αὐτόν. ὁ δὲ μέλλων καταβιβρώσκεσθαι ἔφη· 'ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὃς θαλάττιος ὢν χερσαῖος ἠβουλήθην γενέσθαι'. **FC** Ξηρᾶς χλόην γῆς ἐπιθυμῶν καρκῖνος, Ἀλώπηξ λιμώττουσα τοῦτον λάμβάνει. Καὶ μέλλων θνήσκειν μεταμελῶν ἐθρήνει, Πῶς τῆς θαλάσσης ἐξῆλθεν μετοικήσας. tetrast. — 1 rest. **G** 2 rest. Eberhardus, qui praeterea haec tetrastichi verba ex fabula Babriana deprompta esse putat: ξηρᾶς χλόην γῆς . . (ὡς ?) τῆς θαλάσσης . . μετοικήσας' 4 'Babrius dixerit δίκαια πάσχω vel σύν δίκῃ πάσχω'. Eberhard

## 210

Τοῖς ⟨μὲν⟩ τεχνίταις Ζεὺς ⟨πατήρ ποθ'⟩ Ἑρμείην
προσέταξεν ἐγχεῖν πᾶσι φάρμακον ψεύδους·
ὁ δὲ τοῦτο τρίψας μέτρα τ' ἶσα ποιήσας
ἐνέχεεν αὐτοῖς. ὡς δὲ σκυτέως μούνου
λειφθέντος ⟨ἔτι⟩ τὸ φάρμακον περιττεύει,
λαβὼν θυείην πᾶσαν ἐνέχεεν τούτῳ·
καὶ τοὺς τεχνίτας πάντας ἐγένετ' ἐκ τούτου,
πάντων δὲ πλεῖστα σκυτέας λέγειν ψεύδη.
Ὁ μῦθος πρὸς ψευδολόγους τεχνίτας.

## 211

Σίτου κύνες πεινῶντες εἶδον ἐν ῥείθρῳ
βύρσας βρεχομένας οὐδ' ἐλάμβανον ταύτας.
ἐνταῦθα συνετίθεντο ⟨πάντες⟩ ἀλλήλοις·
'ὕδωρ τὸ πρῶτον ἐκπίωμεν, εἶθ' οὕτως
προσίωμεν αὐταῖς'. ταῖς δ' ἐγένετο πινούσαις
διαρραγῆναι πρότερον ἢ λαβεῖν βύρσας.
Πολλοὶ δι' ἐλπίδα κέρδους ἐπισφαλοῦς μόχθους ὑφιστάμενοι φθάνουσι πρῶτον καταναλισκόμενοι.

## 212

Ἀνήρ τις ἀκρίδας ⟨πότ'⟩ ἔλεγε δειπνήσων·
τέττιγα ⟨βαβράζοντα⟩ δ' εἷλεν ἐν ταύταις.
κτεῖναι δ' ἐπεὶ κἀκεῖνον ἤθελεν, τέττιξ

---

**210** F 255 = C 103 Eberhard 165 Ζεὺς Ἑρμῆν προσέταξε πᾶσι τοῖς τεχνίταις ψεύδους φάρμακον ἐγχεῖν. ὁ δὲ τοῦτο τρίψας καὶ μέτρον ποιήσας ἴσον ἑκάστῳ ἐνέχεεν. ἐπεὶ δὲ μόνου τοῦ σκυτέως ὑπολειφθέντος πολὺ κατελέλειπτο φάρμακον, ὅλην λαβὼν τὴν θυείαν ἐνέχεεν αὐτῷ· κἀκ τούτου συνέβη τοὺς τεχνίτας ἅπαντας ψεύδεσθαι, μάλιστα δὲ πάντων τοὺς σκυτέας. FC — 2 et 3 rest. Eberhardus, reliquos G epim. FC

**211** F 289 C $207^{1-2}$ Aug. 134 Eberhard 172 Κύνες λιμώττουσαι ὡς ἐθεάσαντο ἔν τινι ποταμῷ βύρσας βρεχομένας, μὴ δυνάμεναι αὐτῶν ἐφικέσθαι συνέθεντο ἀλλήλαις ὅπως πρῶτον (πρῶτον om. F Aug.) τὸ ὕδωρ ἐκπίωσιν, (καὶ add. C) εἶθ' οὕτως ἐπὶ τὰς βύρσας παραγένωνται (παραγίνωνται Aug.). συνέβη δὲ αὐταῖς πιούσαις (δ' αὐτὰς πινούσας Aug.) πρότερον διαρραγῆναι (διαρραγῆναι πρὶν Aug.) ἢ τῶν βυρσῶν ἐφικέσθαι. F C$^1$ Aug. — 1—6 rest. G 4 ὡς πρῶτον ὕδωρ ἐκπίωσιν, εἶθ' οὕτως Eberhard 6 διαρραγῆναι πρότερον versus initium esse intellexit Eberhardus epim. FC Πολλοὶ FC] οὕτως ἔνιοι τῶν ἀνθρώπων Aug. ἐπισφαλεῖς Aug. ἢ ὧν βούλονται περιγενόμενοι in fine add. Aug.

**212** F 411 = C 344 Ἀνήρ τις ἀκρίδας συλλέγων καὶ ἀποκτιννὺς εἷλε καὶ τέττιγα. ἐπεὶ δὲ κἀκεῖνον ἠβούλετο κτεῖναι, φησὶν ὁ τέττιξ· 'ἄνθρωπε, μή με μάτην ἀνέλῃς. ἐγὼ γὰρ οὔτε στάχυν βλάπτω οὔτ' ἄλλο τι τῶν ἁπάντων σε ἀδικῶ· τῇ κινήσει δὲ τῶν ἐν ἐμοὶ ὑμένων ἡδὺ φθέγγομαι τέρπων τοὺς ὁδοιπόρους· φωνῆς οὖν

‛ἄνθρωπε’ φηςί ‛μὴ μάτην μ’ ἀποκτείνῃς·
ἐγὼ γὰρ οὔτε ⟨πώποτε⟩ ςτάχυν βλάπτω
οὔτ’ ἄλλο χρῆμά ς’ ἠδίκηκα τῶν πάντων·
φθεγγόμενος ὑμέςι τοὺς ὁδοιπόρους τέρπω,
φωνῆς δὲ παρ’ ἐμοὶ πλεῖον οὐδὲν εὑρήςεις.’
ὁ δὲ ταῦτ’ ἀκούςας ⟨ἐξ⟩αφῆκ’ ἀποπτάςθαι.

## 213

Θάψας’ ἑαυτῆς ἄνδρα προςφάτως χήρη
ἀπιοῦςα πρὸς μνημεῖον ⟨αἰὲν⟩ ἐθρήνει.
ἀροτριῶν δὲ μνήματός τις οὐ πόρρω
ὡς τῆς γυναικὸς τῷ πόθῳ ςφόδρ’ ἐκνίςθη,
πρὸς μνῆμα καὐτὸς ἦλθε τοὺς βόας λείπων
καθίςας τε τῇ γυναικὶ ⟨προς⟩ςυνεθρήνει.
‛οὕτως τί κλαίεις καὶ ςύ’; τῆςδ’ ἐρωτώςης
‚κἀγὼ γυναῖκ’ ἔθαψα‘ φηςί ‚γενναίην
κουφίζομαί τ’⟨ἔγωγε⟩ τοῦ πόνου κλαύςας‘.
‛τοῦτ’ αὐτὸ κἀμοί’ φηςὶν ἥδε ‛προςπίπτει’.
‚εἰ τοίνυν ⟨ἡμεῖς⟩ πάςχομέν ⟨γε⟩ ταὔτ’ ἄμφω,
τί δήποτ’‘ εἶπε ‚μὴ ςύνεςμεν ἀλλήλοις;
ἐγὼ φιλήςω γάρ ςέ θ’ ὡς⟨περεὶ⟩ κείνην
χὡς τὸν ςεαυτῆς ἄνδρα κἀμὲ ςὺ ⟨ςτέρξεις⟩.‘
ἔπειςε ταῦτα τὴν γυναῖκα μιχθῆναι.
ἐλθὼν δὲ κλέπτης βόας ἀπήλαςεν λύςας.
ὁ δ’ ἐπανιὼν ὡς οὐκέθ’ εὗρε τοὺς ταύρους,
κοπτόμενος ἤρξατ’ ἀγριώτατ’ οἰμώζειν.
ἐλθοῦςα δ’ ἥδε καὶ γοώμενον λίην
εὑροῦςά φηςι· ⟨‛τί ποτε νῦν⟩ πάλιν κλαίεις’;
κἀκεῖνος εἶπε· ‚νῦν ἀληθινῶς κλαίω‘.

---

παρ’ ἐμοὶ πλέον οὐδὲν εὑρήςεις’. κἀκεῖνος ταῦτα ἀκούςας ἀφῆκεν ἀπιέναι. **FC** — 1—9 rest. **G**

**213** **F** 412 **C** 343 Γυνή τις προςφάτως τὸν ἑαυτῆς ἄνδρα θάψαςα καθ’ ἡμέραν ἀπιοῦςα πρὸς τὸ μνημεῖον ἐθρήνει. ἀροτριῶν δέ τις οὐ πόρρω τοῦ μνήματος εἰς ἐπιθυμίαν ἧκε τῆς γυναικὸς καὶ καταλιπὼν τοὺς βόας ἦλθε καὶ αὐτὸς πρὸς τὸ μνῆμα καὶ καθίςας ςυνεθρήνει τῇ γυναικί. τῆς δὲ πυθομένης τί δήποτε καὶ αὐτὸς οὕτως ὀδύρεται, ‚ὅτι κἀγώ‘ φηςίν ‚εὐπρεπῆ γυναῖκα κατώρυξα καὶ ἐπειδὰν κλαύςω, τῆς λύπης κουφίζομαι‘. ἡ δέ· ‛κἀμοὶ τοῦτ’ αὐτὸ προςγίνεται’. κακεῖνος· ‚εἰ τοίνυν τοῖς αὐτοῖς περιπεπτώκαμεν πάθεςι, τί δήποτε ἀλλήλοις μὴ ςύνεςμεν (em. Halmius; ςύνεμεν **F** ςύνειμεν **C**); ἐγώ τε γὰρ φιλήςω ςε ὡς ἐκείνην κἀμὲ ςὺ πάλιν ὡς τὸν ςαυτῆς ἄνδρα.‘ ταῦτα ἔπειςε τὴν γυναῖκα καὶ δὴ ςυνῆλθον. ἐν τούτῳ δὲ κλέπτης ἐλθὼν καὶ τοὺς βόας λύςας ἀπήλαςεν. ὁ δὲ ἐπανελθὼν καὶ τοὺς βόας μὴ εὑρηκὼς κόπτεςθαί τε καὶ οἰμώζειν ἰςχυρῶς ἐνεςτήςατο. ἐλθοῦςα δὲ καὶ ἡ γυνὴ καὶ ὀλοφυρόμενον εὑροῦςά φηςι· ‛πάλιν κλαίεις’; κἀκεῖνος ‚νῦν‘ εἶπεν ‚ἐπ’ ἀληθείας κλαίω‘. **FC** — 1–21 rest. **G**

### 214

Ἀνὴρ ἐραcθεὶc τῆc θυγατρὸc οἰκείηc
εἰc ἀγρὸν ⟨αὑτοῦ⟩ τὴν γυναῖκ' ἀπεcτάλκει·
μόνην δ' ἀπολαβὼν τὴν θυγατέρα μοιχεύει.
ἡ δέ 'πάτερ', εἶπεν '⟨ὡc⟩ ἀνόcια ⟨cὺ⟩ πράττειc;
πολλῶν ὑπ' ἀνδρῶν ηὐχόμην βιαcθῆναι
⟨ἔγωγε μᾶλλον⟩ ἢ πατρὸc παρ' οἰκείου.'

### 215

Χειμῶνοc ὥρῃ τιc πεπηγότ' ἐκ ψύχουc
ὄφιν γεωργὸc εὗρε κἄθετ' ἐν κόλποιc.
θαλφθεὶc δ' ἐκεῖνοc φύcιν ἀνέλαβεν οἰκείην
πλήξαc τ' ἀνεῖλε τοῦτον· ἔλεγε δὲ θνήcκων·
'δίκαια πάcχω τὸν πονηρὸν οἰκτείραc'.

Ὁ λόγοc δηλοῖ, ὅτι ἀμετάθετοί εἰcιν αἱ πονηρίαι, κἂν τὰ μέγιcτα φιλανθρωπεύωνται.

---

## Fabularum Iambicarum fragmenta.

### 216

* * * * * * * * * * * *
. . . . . . . . . . . . . . νῦν ⟨δὲ⟩ cωθείην, ἵνα
ᾖ μοι δίδαγμα τοῦτο τοῦ λοιποῦ χρόνου.

### 217

Μόcχοc ποτ' εἶπέ ⟨τιc⟩ πρὸc ἔλαφον ⟨τοιάδε⟩·
'cὺ καὶ τὸ μέγεθόc ἐccι μείζων τῶν κύνων
τάχει τε διαφέρειc, ἔχειc δὲ καὶ κέρα·

---

**214** **F** 414 Ἀνήρ τιc τῆc οἰκείαc ἐραcθεὶc θυγατρὸc εἰc ἀγρὸν ἀπέcτειλε τὴν γυναῖκα, μόνην δὲ τὴν θυγατέρα ἀπολαβὼν ἐβιάζετο. ἡ δέ 'πάτερ', εἶπεν 'ἀνόcια πράττειc· εὐχόμην μέντοι ὑπὸ πολλῶν ἀνδρῶν αἰcχυνθῆναι ἢ ὑπὸ cοῦ τοῦ γεννηcαμένου.' — 1—6 rest. **G**

**215** Aug. 62 **C** 170 1—2 **F** 130 = **C** p. 357 1 Aug. 171 Eberhard 150 cf. huius edit. fab. 147 Γέρων τιc γεωργὸc χειμῶνοc ὥρᾳ ὄφιν εὑρὼν ὑπὸ κρύουc πεπηγότα, τοῦτον ἐλεήcαc καὶ λαβὼν ὑπὸ κόλπων ἔθετο. θερμανθεὶc δὲ ἐκεῖνοc καὶ ἀναλαβὼν τὴν ἰδίαν φύcιν ἔπληξε τὸν εὐεργέτην καὶ ἀνεῖλε· θνήcκων δὲ ἔλεγε· 'δίκαια πάcχω τὸν πονηρὸν οἰκτείραc'. Aug. 62 — 1—4 rest. **G** 5 Aug. **C** 170 2 (tetrast) epim. Aug. 62 **C** 170 1 τὰ μέγιcτα om. **C**

**216** **S** (νῦν cωθείην) qui addit παρὰ τὸν μῦθον εἴρηται τοῦτο τῆc μανθανούcηc χελώνηc ἵπταcθαι παρὰ τοῦ ἀετοῦ καὶ πεcούcηc. cf. **L** praef. X et fab. 115 — 1 ⟨δὲ⟩ **L**] ⟨γε⟩ I. G. Schneider cωθείην δὲ νῦν Bernhardy 2 ᾖ μοι] ἵν' ᾖ Bernhardy

**217** **B** 88 **F** 120 = **C** p. 309 **C** 56 (Eberhard Anal. Babr. p. 187, 11) Μόcχοc πρὸc τὴν ἔλαφον εἶπεν· 'cὺ καὶ μεγέθει μείζων εἶ τῶν κυνῶν

τί οὖν τοσοῦτον ⟨ἐκ⟩φοβεῖ ⟨cὺ⟩ τοὺc κύναc᾽;
ἡ δ᾽ ἔλαφοc εἶπεν· ᾽οἶδα ταῦτα πάντ᾽ ἔχων·
ὑλακῆc δ᾽ ἀκούcαc᾽ ⟨ἐν⟩cκοτοῦμαι τὸν λόγον
⟨φόβου⟩ τε πᾶcα γίνομαι ⟨καὶ⟩ τῆc φυγῆc᾽.

Ὅτι τοὺc φύcει δειλοὺc οὐδεμία λόγου παραίνεcιc ἐπιρρώνυcιν.

## 218

Ὄνοc ⟨τίc ποτε⟩ λέοντοc ἐνδυθεὶc δορὴν
⟨εἶναι⟩ λέων ἅπαcιν ⟨ἐπ⟩ενομίζετο
καὶ ⟨τῶν⟩ μὲν ἀνδρῶν ἦν, φυγὴ δὲ ποιμνίων.
πνεύcαντοc ἀνέμου δὲ περιῃρέθη δορὴ
καὶ γυμνὸc ὅ ⟨γ᾽⟩ ὄνοc ἦν. τότ᾽ οὖν ἐπέδραμον
ῥοπάλοιc τ᾽ ἔπαιον πάντεc αὐτὸν καὶ ξύλοιc.

Ὅτι πένηc καὶ ἰδιώτηc ὢν μὴ μιμοῦ τὰ τῶν πλουcίων, μή ποτε καταγελαcθῇc καὶ κινδυνεύcῃc.

## 219

Κερδοῖ λαγωὸc ᾽πολλὰ κερδαίνειc᾽ ⟨ἔφη,⟩
᾽ὁποῖόν ἐcτιν ὄνομά cοι᾽; κερδὼ δ᾽ ἔφη·

---

καὶ ταχύτητι διαφέρειc καὶ κέρατα πρὸc ἄμυναν ἔχειc· τί οὖν τοcοῦτον φοβεῖ τοὺc κύναc᾽; καὶ ἡ ἔλαφοc ἔφη· ᾽ὅτι μὲν ταῦτα πάντα ἔχω, οἶδα· ὑλακῆc δὲ εἰ ἀκούcω, τὸν λογιcμὸν cκοτοῦμαι καὶ ὅλη τῆc φυγῆc γίνομαι.᾽ **B** Νεβρόc ποτε πρὸc τὸν ἔλαφον εἶπε· ᾽πάτερ, cὺ καὶ μείζων καὶ ταχύτεροc κυνῶν πέφυκαc καὶ κέρατα πρὸc τούτοιc ὑπερφυᾶ φέρειc πρὸc ἄμυναν. τί δήποτ᾽ οὖν οὕτω τούτουc φοβῇ᾽; κἀκεῖνοc γελῶν εἶπεν· ᾽ἀληθῆ μὲν ταῦτα φῄc, τέκνον· ἓν δ᾽ οἶδα, ὡc, ἐπειδὰν κυνὸc ὑλακὴν ἀκούcω, αὐτίκα πρὸc φυγὴν οὐκ οἶδ᾽ ὅπωc ἐκφέρομαι᾽ **C** Μόcχοc δή ποτε πρὸc τὴν ἔλαφον εἶπε· ᾽cὺ τῷ μεγέθει μείζων κυνὸc τυγχάνειc καὶ ταχυτάτη καὶ ὀξεῖα πρὸc δρόμον, κέρατα δὲ πρὸc τὴν (τὴν add. **G**) ἄμυναν κατέχειc· Καὶ τί, ὦ μῆτερ, οὕτω φοβῇ τοὺc κύναc᾽; Ἡ δὲ πρὸc αὐτὸν ἔφη γελῶcα οὕτωc· ᾽Ὅτι μὲν ἐγὼ ταῦτα ἅπαντα ἔχω, Εὖ οἶδα caφῶc καὶ γινώcκω, ὦ τέκνον· Ἐπὰν δὲ κυνὸc τῆc (τῆc add. **C**) ὑλακῆc ἀκούcω Σκοτοῦμαί τε (τε add. **G**) καὶ πρὸc τὴν (τὴν add. **G**; lacunam indicavit **C**) φυγὴν τρέπομαι.᾽ **F** (versus politicos indicavit **C** p. 309) — 1—7 rest. **G** 1 πότ᾽ **G**] πότε **CF** om. **B** 3 δὲ **F**] om. **BC** epim. = **B** promyth.] ὁ μῦθοc δηλοῖ ὅτι **CF** τοὺc ἀνθρώπουc τοὺc **F** λόγου om. **CF** ῥώννυcι **C** ἀνθρώπου ἐπιρρώνυcι **F**

**218** **B** 99 = **C** 258[1] **C** 258[2—6] Eberhard 164 Ὄνοc δορὰν λέοντοc ἐπενδυθεὶc λέων ἐνομίζετο πᾶcιν· καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. ὡc δὲ ἀνέμου πνεύcαντοc ἡ δορὰ περιῃρέθη καὶ γυμνὸc ὁ ὄνοc ἦν, τότε δὴ (δὴ om. **C**) πάντεc ἐπιδραμόντεc ξύλοιc καὶ ῥοπάλοιc αὐτὸν ἔπαίον. **BC**[1] — 1—6 rest. **G** 1 ἐνδυθεὶc **C**6 ὄνοc λέοντοc τὴν δορὰν φέρων ὤμοιc Eberhardus ex tetrasticho (φέρων λέοντοc δέρμα τοῖc ὤμοιc ὄνοc **C**5) 2 ηὔχει λέων εἶναί τιc αἰπόλουc τρέπων **C**5 3 φυγὴ δὲ ποιμνῶν Eberhard 4–6 ἀνέμου δὲ cυρίcαντοc ὡc ἐγυμνώθη Τότ᾽ ἐπιδραμόντεc ὄνον ἔπαιον ἠλοίων? Eberhard epim. = **B** promyth. κινδυνεύcῃc· τὸ γὰρ ξένον ἀνοίκειον. **C**[1]

**219** **B** 100 Ὅτι τοῖc περιέργοιc πολλάκιc μέγιcτον κακὸν cυνέβη κακῶc τῇ περιεργείᾳ χρωμένοιc. — Ὁ λαγωὸc τῇ ἀλώπεκι· ᾽ὄντωc πολλὰ κερδαίνειc ἢ ἔχειc, ὅτι ὄνομά cοι κερδώ ἐcτιν᾽; ἡ δὲ ἀλώπηξ ᾽εἰ ἀπι-

⟨ἀλλ'⟩ εἴ ⟨γ'⟩ ἀπιστεῖς, δεῦρ' ⟨ἄγ'⟩, ἑστιῶ σ' ἐγώ'.
ὁ δ' ἠκολούθει κοὐδὲν ἔνδον ἦν ⟨σπέους⟩
⟨ἄλλ'⟩ ἢ λαγωὸς δεῖπνος ⟨ὢν⟩ ἀλώπεκι.
ὁ δ' εἶπε· 'σὺν κακῷ μέν, ἀλλὰ μανθάνω
σοῦ τοὔνομ' ὁπόθεν· ἐστὶ ⟨γὰρ⟩ ἀπὸ τοῦ δολοῦν.'
[συνέβαινε περιέργοισι πολλάκις κακόν.]

## 220

Ὄνος ποτ' εἶπε ταλανίσας αὑτοῦ τύχην·
'ἀχθηφορήσας τρύχομαι γόμων βάρει,
ἀλλ' οὐδέ ⟨γ'⟩ ἄχυρον εἰς κόρον ⟨μου⟩ λαμβάνω.
ἵππος μάκαρ μὲν ἄφθονον τροφὴν ἔχει,
ὑπὸ δ' ἱππέως χαίτωμα καλλωπίζεται
ὁσημέραι τε λούεται τοῖς ὕδασιν.
λαμπρὸς χαλίνῳ δ' ἐστὶ καὶ μετωπίσιν
ἀνειμένῳ τε κοῦφός ἐστιν ὁ δρόμος'.

---

στεῖς', ἔφη 'δεῦρο, ἐγὼ ἑστιῶ σε'. ὁ δὲ ἠκολούθει· καὶ ἦν ἔνδον οὐδὲν ἢ λαγωὸς δεῖπνος τῇ ἀλώπεκι. ὁ δὲ λαγωὸς ἔφη· 'σὺν κακῷ μέν, ἀλλ' ἔμαθόν σου τὸ ὄνομα πόθεν ἐστίν· οὐκ ἀπὸ τοῦ κερδαίνειν, ἀλλ' ἀπὸ τοῦ δολοῦν'. — 1—[8] rest. **G**

**220** **B** 103 **F** 151 = **C** p. 311 **C** $58^{1-2}$ (Eberhard Anal. Babr. p. 188, 15) Ὄνος τὸν ἵππον ἐμακάριζε διὰ τὴν τροφὴν καὶ τὴν θεραπείαν, ἑαυτὸν δὲ ἐταλάνιζε καὶ τὴν ἑαυτοῦ τύχην, ὅτι ἀχθοφορεῖ καὶ ὀλίγη αὐτῷ ἐστιν ἡ τροφή, ὁ δὲ ἵππος κεκοσμημένος τῷ χαλινῷ καὶ προμετωπιδίοις καὶ κοῦφος αὐτῷ ὁ δρόμος. ταῦτα τοῦ ὄνου λογιζομένου ἐπέστη πολέμου καιρός. καὶ ὁ στρατιώτης μετὰ τῶν ὅπλων ἐπέβη τοῦ ἵππου καὶ μέσον τῶν πολεμίων εἰσίει. καὶ ὁ ἵππος κεστὸς (em. **G**; μέσος **B** [μέσος] Knoell) τοῖς ξίφεσιν ἔκειτο τραυματίας καὶ ψυχορραγῶν. μετεβάλετο δὲ τὴν γνώμην ὁ ὄνος καὶ τὸν ἵππον ἠλέησεν. **B** Ὄνος ποτὲ ἐμακάριζεν ἵππον διὰ τὴν τροφὴν καὶ θεραπείαν, τὴν δὲ ἑαυτοῦ τύχην ἐμυκτέριζεν, ὡς ἀχθοφοροῦντος πολλὰ καὶ κοπιῶντος καὶ οὐδὲ ἄχυρον εἰς κόρον λαμβάνοντος. ἐπεὶ δὲ ἐπέστη καιρὸς πολέμου καὶ ὁ στρατιώτης σὺν τοῖς ὅπλοις ἐπέβη ἐπὶ τὸν ἵππον καὶ ὧδε κἀκεῖσε τοῦτον ἤλαυνεν, ὡς εἰς μέσον ἔβη τῶν πολεμούντων ξιφήρης, ὁ ἵππος (distinxit **C**; πολεμούντων, ξιφήρης **F**) ἔκειτο ἐπ' ἐδάφους· ὡς οὖν ἑώρα τοῦτον ὁ ὄνος, εὐθὺς μετεβάλλετο καὶ τὸν ἵππον ἠλέει. **F** Ὄνος ἵππον ἐμακάριζεν ὡς ἀφθόνως τρεφόμενον καὶ ἐπιμελῶς αὐτὸς μηδ' ἀχύρων ἅλις ἔχων καὶ ταῦτα πλεῖστα ταλαιπωρῶν. ἐπεὶ δὲ καιρὸς ἐπέστη πολέμου καὶ ὁ στρατιώτης ἔνοπλος ἀνέβη τὸν ἵππον πανταχόσε τοῦτον ἐλαύνων, καὶ δὴ καὶ μέσον τῶν πολεμίων εἰσήλασε καὶ ὁ ἵππος πληγεὶς ἔκειτο. ταῦτα πάντα ἑωρακὼς ὁ ὄνος τὸν ἵππον μεταβαλλόμενος ἐταλάνιζεν **C**$^{1}$ Ὄνος καὶ ἵππος ὑπῆρχον ἀνθρώπῳ τινὶ καὶ ἕκαστος αὐτῶν ἰδίαν ὑπηρεσίαν ἐπλήρου. ἀλλ' ὁ μὲν ἵππος ἀνέσεως πολλῆς παραπολαύων δαψιλῶς ἐτρέφετο χαίτην τε καὶ πλοκάμους ὑπὸ τῶν ἱπποκόμων ἐκαλλωπίζετο καὶ ὁσημέραι τοῖς ὕδασιν ἀπελούετο. ὁ δὲ ὄνος διόλου ἀχθοφορῶν τῷ τῶν γόμων βάρει κατετρύχετο. μιᾷ γοῦν ὁ τοῦ ἵππου κύριος ἐπιβὰς αὐτοῦ ἐπί τινα πόλεμον ἀπῄει· καὶ τῆς μάχης συγκροτηθείσης ὁ ἵππος εὐθὺς ἐπλήγη καὶ ἀνῃρέθη. ἰδὼν δὲ τὴν αὐτοῦ ἀπώλειαν ὁ ὄνος ἑαυτὸν μᾶλλον τῆς πολυμόχθου ἐμακάριζεν ὑπηρεσίας. **C**$^{2}$ — 1—15 rest. **G** 4 μάκαρ **G**] cf. ἵππον ἐμακάριζεν **BFC**$^{1}$ 5 ἱππέως **G**] ἱπποκόμων **C**$^{2}$ 7 λαμπρὸς **G**] κεκοσμημένος **B** 8 ἀνειμένῳ **G**] ἀνέσεως πολλῆς παραπολαύων **C**$^{2}$

τοιαῦτ᾽ ὄνος ⟨πρὸς αὑτὸν ἀν⟩ελογίζετο.
πολέμου δ᾽ ἐπει⟨δὴ⟩ καιρὸς ἐπ⟨αν⟩έστη τινὸς
ἔνοπλος ἀναβὰς ἐπὶ τὸν ἵππον κύριος
τῶν πολεμίων πανταχόσε μέσσον εἰσίει
ἵππος τ᾽ ἔκειτο τραύμασιν ψυχορραγῶν.
ὡς οὖν ἑώρα τοῦτον ὄνος ὀλωλότα,
γνώμην μετέβαλε καὶ τὸν ἵππον ἠλέει.
[τοῖς ἐν τέλεσσι πλουσίοις τ᾽ οὐ δεῖ φθονεῖν,
ἀλλὰ λογιζομένους κίνδυνον καὶ φθόνον αὐτῶν
τὴν πενίαν ἀγαπᾶν, μητέρα ⟨γ᾽⟩ ἡσυχίας.]

## 221

Ὄνος πλατείης ἐκτραπεὶς ἐκρήμνατο.
ὀνηλάτης δέ 'ποῦ' βοᾷ, 'τάλας, φέρῃ';
οὐρῆς λαβόμενος καὶ πρὸς αὑτὸν ἑλκύει.
τῆς δ᾽ εἰς τὸ πόρσω κεῖνος οὐδὲν ἵστατο.
ὁ δέ ⟨γ᾽⟩ ἔτι μᾶλλον αὐτὸν ὠθήσας ἔφη·
'νίκησον, ὕπαγ᾽, ὄλεθρε, τὴν νικὴν κακήν'.
Τοὺς ἀπολλυμένους οἰκείᾳ ἀφροσύνῃ ὁ μῦθος ἐλέγχει.

## 222

Ῥόδῳ παραφυὲν εἶπεν ἀμάραντον ⟨τάδε⟩·
'ἄνθος ποθητὸν εἶ θεοῖσι καὶ βροτοῖς·

---

10 τινος **G**] ἐπί τινα πόλεμον ἀπῄει **C**² 14 paene integrum habet **F**, nisi quod ὀλωλότα add. **G**] ἰδὼν δὲ τὴν αὐτοῦ ἀπώλειαν **C**² [16—18] rest. **G**] ὁ μῦθος δηλοῖ (om. **B**) ὅτι (καὶ add. **F**) τοὺς πλουσίους καὶ τοὺς ἐν ταῖς ἀρχαῖς (καὶ ἄρχοντας **F**) οὐ δεῖ (οὐ δεῖ ἄρχοντας καὶ τοὺς πλουσίους **C**¹) ζηλοῦν, ἀλλὰ τῶν κατ᾽ ἐκείνους (ἐκείνων **FC**¹) φθόνον καὶ (τὸν add. **C**¹) κίνδυνον λογισαμένους (ἀναλογιζομένους **FC**¹) ἀγαπᾶν τὴν (om. **B**) πενίαν (τὴν πενίαν ἀγαπᾶν **C**¹), ἡσυχίας μητέρα (τὴν μητέρα τῆς ἡσυχίας **F** om. **C**¹) **B** (promyth.) **FC**¹ ὁ μῦθος δηλοῖ, ὡς ὁ πενιχρὸς βίος ἀνεπίφθονος τυγχάνων πολλῷ τοῦ πλούτου ὡς κινδυνώδους προτιμότερος. **C**²

**221** **B** 107 **F** 139 = **C** 401 Aug. 182 Ὄνος πλατείας ὁδοῦ ἐκτραπεὶς ἐπὶ κρημνὸν ἐφέρετο. τοῦ δὲ ὀνηλάτου βοῶντος 'ἄθλιε, ποῦ φέρῃ;' καὶ οὐρᾶς ἐπιλαβομένου καὶ ἕλκοντος πρὸς ἑαυτὸν τῆς εἰς τὸ πρόσω φορᾶς ὁ ὄνος οὐχ ἵστατο. ὁ δὲ ἔτι μᾶλλον ὠθήσας αὐτὸν ἔφη· 'ὕπαγε, νίκα τὴν κακὴν νίκην ἐν τῷ ἀναθέματι' **B** Ὄνος ὑπ᾽ ὀνηλάτου ἀγόμενος ὡς μικρὸν ἀπὸ τῆς ὁδοῦ προῆλθεν ἀφεὶς τὴν λείαν εἰς κρημνὸν (ἀτὰρ διὰ κρημνῶν **FC**) ἐφέρετο· μέλλοντος δ᾽ (δὲ **FC**) αὐτοῦ κατακρημνίζεσθαι, ὁ ὀνηλάτης ἐπιλαβόμενος τῆς οὐρᾶς ἐπειρᾶτο περιάγειν (μετάγειν **FC**) αὐτόν· τοῦ δὲ εὐτόνως ἀντιπίπτοντος ἀφεὶς αὐτὸν ἔφη· 'ὦ ὄνε (ὦ ὄνε om. Aug.), νίκα; κακὴν γὰρ νίκην νικᾷς.' — Πρὸς ἄνδρα φιλόνεικον ὁ λόγως εὔκαιρος (ὁ λόγος [ὅλως **F**] πρὸς ἄνδρα φιλόνεικον **FC**). **FC** Aug. — 1—6 rest. **G** epim. = **B** promyth.

**222** **B** 130 **F** 321 **C** 275 (Eberhard Anal. Babr. p. 189, 19) Ὅτι κρεῖσσον ὀλιγαρκούμενόν τινα διαμένειν ἢ πρὸς ὀλίγον τρυφήσαντα μεταβολῆς δυστυχοῦς τυχεῖν ἢ καὶ ἀποθανεῖν. — Ῥόδῳ παραφυὲν ἀμά-

κάλλους ἐγὼ ζηλῶ cε τῆc τ' εὐωδίηc'.
τὸ δ' 'ἐγὼ μέν' εἶπεν 'ὀλίγον, ἀμάραντον, βιῶ,
μηδείc τ' ⟨ἄωρον⟩ κἄν με κόψῃ, τήκομαι·
ἀνθεῖc δ' ἀεὶ cὺ καὶ βιοῖc οὕτω νέον'.
[κρεῖccον μένειν τίν' ἐcτὶν ὀλιγαρκούμενον
ἢ πρὸc ὀλίγον τρυφῶντα μεταβολῆc τυχεῖν
δυcδαίμονοc ἢ καὶ ⟨πρὸ τῆc ὥρηc⟩ θανεῖν.]

## 223

Ἐπὶ δρυὸc ἀηδὼν αἰπέηc καθημένη
κατ' ἦθοc ᾖδεν· ὁ δ' ἱέραξ αὐτὴν ἰδὼν
cυνέλαβ' ἐπιπτάc, ⟨τῆc⟩ τροφῆc ὡc ἠπόρει.
ἡ δ' ἱκέτευε· 'μέθεc ἔμ', οὐχὶ γὰρ ἱκανή
ἱέρακόc εἰμι πιμπλάναι ⟨τὴν⟩ γαcτέρα·
δεῖ δὲ τρέπεcθαί c' ἐπὶ τὰ μείζον' ὄρνεα'.
ὁ δ' 'ἀλλ' ἔγωγε μῶροc εἴην ἄν' λέγει,
'εἰ τὴν ἑτοίμην ἐκ χερῶν βορὴν ἀφεὶc
τὰ μηδέπω φαινόμενα θηρῷμ' ⟨ὄρνεα⟩'.

Ὁ λόγοc δηλοῖ, ὡc οὕτω καὶ τῶν ἀνθρώπων ἀλόγιcτοί εἰcιν οἳ δι' ἐλπίδα μειζόνων πραγμάτων τὰ ἐν χερcὶν ὄντα προίενται.

## 224

Κερδώ τιc ἀποκοπεῖcα τὴν οὐρὴν πάγῃ
ἀβιωτὸν ὡc ἡγεῖτο βίον αἴcχουc ὕπο,
εἰc ταὐτὸ πάcαc προcαγαγεῖν κερδοὺc ἔγνω
ἰδίην βλάβην κρύψουcα τῷ κοινῷ πάθει.

---

ραντον ἔφη (πρὸc αὐτὸ add. **FC**)· 'οἷον ἄνθοc εὐπρεπὲc εἶ (καὶ add. **F**) ποθητὸν καὶ θεῷ (θεοῖc **FC**) καὶ ἀνθρώποιc. μακαρίζω cε τοῦ κάλλουc καὶ τῆc εὐωδίαc'. τὸ δὲ εἶπεν· 'ἐγὼ μέν, ὦ ἀμάραντον, πρὸc ὀλίγον καιρὸν ζῶ καί, κἂν μηδεὶc ἐκκόψῃ (κόψῃ **FC**) με, τήκομαι· cὺ δὲ ἀνθεῖc καὶ ζῇc ἀεὶ (ἀεὶ καὶ ζῇc **FC**) οὕτω νέον. **BFC** — 1—6 et [7—9] rest. **G**.

**223** **F** 2 = C. p. 281 **C** 3 Aug. 4 Ἀηδὼν ἐπί τινοc δρυὸc ὑψηλῆc καθημένη κατὰ τὸ cύνηθεc ᾖδεν (ᾖδε κατὰ τὸ cύνηθεc **F**). ἱέραξ δὲ αὐτὴν θεαcάμενοc ὡc ἠπόρει (ἀπορῶν **F**) τροφῆc ἐπιπτὰc cυνέλαβεν (ἀνελάβετ' αὐτήν **F**). ἡ δὲ μέλλουcα ἀναιρεῖcθαι ἐδέετο (αὐτοῦ add. **F**) μεθεῖναι αὐτήν, λέγουcα ὡc (λέγουcα μὴ βρωθῆναι αὐτήν, ἐπειδὴ **F**) οὐχ ἱκανή ἐcτιν ἱέρακοc γαcτέρα αὐτὴ πληρῶcαι (ἱέρακοc πληρῶcαι γαcτέρα **F**)· δεῖ δὲ αὐτόν, εἰ τροφῆc ἀπορεῖ, ἐπὶ τὰ μείζονα τῶν ὀρνέων τρέπεcθαι. ὑπολαβὼν δὲ ὁ ἱέραξ ἔφη· 'ἀλλ' ἔγωγε ἀπόπληκτοc (ἄφρων **F**) ἂν εἴην, εἰ τὴν ἐν χερcὶν ἑτοίμην βορὰν ἀφεὶc (παρεὶc **F**) τὰ μηδέπω φαινόμενα διώκοιμι'. Aug. **F** — 1—9 rest. **G** epim. Aug. **F** Ὁ μῦθοc δηλοῖ ὅτι **F** οἵτινεc **F** πραγμάτων om. **F** χερcὶν οὐ προcίενται **F**

**224** **F** 6 = **C** p. 284[1] **C** 7 et p. 284[2] Aug. 17 Ἀλώπηξ ὑπό τινοc παγίδοc τὴν οὐρὰν ἀποκοπεῖcα ἐπειδὴ δι' αἰcχύνην ἀβίωτον ἡγεῖτο τὸν βίον ἔχειν, ἔγνω δεῖν (ἀποκοπεῖcα ἐξ αἰcχύνηc ἀβίωτον τὸν βίον

οὐρὰς δ' ἀθροίςας' ἀποταμεῖν παρῄνεςεν
'οὐκ ἀπρεπές' λέγουςα 'μοῦνον, ἀλλὰ καὶ
περιςςὸν ὑμῖν τόδε προςήρτηται βάρος'.
τούτων τις ὑποτυχοῦςά φηςιν· 'ὦ φίλη,
ἀλλ' εἴ ⟨γε⟩ μή ςοι τοῦτο ςυνέφερέν ⟨καλῶς⟩,
οὐ ⟨πώποθ'⟩ ἡμῖν αὐτὸ ςυνεβούλευςας ἄν'.

Ὁ λόγος πρὸς ἐκείνους οἳ τὰς ςυμβουλίας ποιοῦνται τοῖς πέλας οὐ δι' εὔνοιαν, ἀλλὰ διὰ τὸ ἑαυτοῖς ςυμφέρον.

## 225

Κροκόδειλος εὐγένειαν ἤριζέν ⟨ποτε⟩
κερδοῖ· διεξιόντι προγόνων οὖν κλέος,
ὥς ἐςτι πατέρων ⟨γε⟩ γεγυμναςιαρχηκότων,
ἤδ' εἶπεν· 'ὦ τᾶν, ἀλλὰ κἂν ςὺ μὴ λέγῃς,
τὸ δέρμα γοῦν ςου ⟨πᾶςι⟩ δείκνυςιν ςαφῶς·
ἤδη παλαιῶν ἐξ ἐτῶν γεγύμναςαι'.
[ψευςτῶν ἔλεγχος γίνεται τὰ πράγματα.]

## 226

Αἴλουρος ὡς ἤκουςεν ὄρνιθες νοςεῖν
ἰατρικὸν τὸ ςχῆμα προςεποιήςατο
τά τ' ἐργαλεῖα τῆς τέχνης λαβὼν παρῆν.

---

ἡγεῖτο. ἔγνω δὲ **F** Ἀλώπηξ ἐν παγίδι ληφθεῖςα καὶ ἀποκοπείςης τῆς οὐρᾶς διαδρᾶςα ἀβίωτον ὑπ' αἰςχύνης ἡγεῖτο τὸν βίον. ἔγνω οὖν **C**) καὶ τὰς ἄλλας ἀλώπεκας εἰς τὸ αὐτὸ προςαγαγεῖν (περιαγαγεῖν **F** τοῦτ' αὐτὸ νουθετῆςαι **C**), ἵνα (ὡς ἂν **C**) τῷ κοινῷ πάθει τὸ ἴδιον ἐλάττωμα ςυγκρύψῃ (ςυγκαλύψειεν αἶςχος **C**). καὶ δὴ ἁπάςας (πάςας **C**) ἀθροίςαςα παρῄνει αὐταῖς (αὐταῖς om. **C**) τὰς οὐρὰς ἀποκόπτειν, λέγουςα (λέγουςα om. **C**) ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο (τὸ μέλος ὂν add. **C**), ἀλλὰ καὶ περιςςόν τι (τι om. **F**) αὐταῖς βάρος προςήρτηται (προςήρτηται βάρος **F** περιττὸν βάρος προςηρτημένον **C**). τούτων δέ τις ὑποτυχοῦςα (ὑπολαβοῦςα **F**) ἔφη (ὑπολαβοῦςα δέ τις αὐτῶν εἶπεν **C**)· 'ὦ αὕτη (φίλη **F**), ἀλλ' εἴ ςοι μὴ (οὔ ςοι **C**) τοῦτο ςυνέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ ςυνεβούλευςας (ςυνεβούλευες **FC**).' **F C** Aug. — 1—10 rest. **G** epim. Aug.

**225** **F** 9 = **C** p. 285 **C** 9 Aug. 20 Ἀλώπηξ καὶ κροκόδειλος περὶ εὐγενείας ἤριζον (ἠμφιςβήτουν περὶ εὐγενείας **C**). πολλὰ δὲ τοῦ κροκοδείλου διεξιόντος (καὶ ὑπερηφανευομένου add. **F**) περὶ τῆς τῶν προγόνων (ὑπερήφανα περὶ τῆς τῶν προγόνων διεξιόντος **C**) λαμπρότητος καὶ τὸ τελευταῖον λέγοντος ὅτι γεγυμναςιαρχηκότων ἐςτὶ πατέρων (καὶ τὸ... πατέρων om. **F** ὡς γεγυμναςιαρχηκότων **C**), ἡ ἀλώπηξ ὑποτυχοῦςα (ὑπολαβοῦςα **F C**) ἔφη· ('ὦ οὗτος add. **F** 'ὦ τᾶν' εἶπε **C**) 'ἀλλὰ κἂν ςὺ μὴ εἴπῃς, (μὴ ςὺ λέγῃς, ἀλλ' **C**) ἀπὸ τοῦ δέρματος (δέρματός γε **C**) φαίνῃ (τὸ γοῦν δέρμα ςου δείκνυςιν **F**) ὅτι (ὡς **C**) ἀπὸ πολλῶν εἶ γυμναςμάτων' (ἀπὸ πολλῶν [παλαιῶν **C**] ἐτῶν εἶ γεγυμναςμένος' **FC**). — Οὕτω καὶ ('Ο μῦθος δηλοῖ ὅτι **FC**) τῶν ψευδολόγων (ψευδωνύμων **F** ψευδομένων **C**) ἀνθρώπων (ἀνδρῶν **F C**) ἔλεγχός ἐςτι τὰ πράγματα (τὰ πράγματα γίνεται **C**). **F C** Aug. — 1—[7] rest. **G**

**226** **F** 14 = **C** p. 347 **C** 152 1—3 Aug. 7 Αἴλουρος ἀκούςας ὅτι ἔν τινι ἐπαύλει (ἔν τινι τόπῳ ἐπ' αὐλῇ **F** ἔν τινι αὐλαίᾳ ὡς ἔπαυλαι **C**) ὄρνιθες (ὄρνεις **C**) νοςοῦςι, ςχηματίςας ἑαυτὸν εἰς ἰατρὸν (εἰς ἰατρὸν ἑαυτὸν ςχημα-

ἐπύθετο δ' αὐτῶν στὰς πρὸ τῆς ἐπαύλεως
ὅπως ἔχοιεν· αἱ δ' ὑποτυχοῦσαι 'καλῶς'
ἔφησαν, 'ἐντεῦθεν σύ ⟨γ'⟩ ἦν ἀπαλλαγῇς'.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ τοὺς φρονίμους οὐ λανθάνουσι, κἂν τὰ μάλιστα χρηστότητα ὑποκρίνωνται.

## 227

Ἐλθοῦσ' ἀλώπηξ εἴς ⟨τιν'⟩ ἀγέλην ποιμνίων
τῶν ἀρνίων ἓν ἀναλαβομένη κατεφίλει
'τί τοῦτο ποίεις'; ὡς διηρώτα κύων,
,⟨ἐγὼ⟩ τιθηνῶ τοῦτο προσπαίζω τ'' ἔφη.
ὁ κύων δέ 'καὶ νῦν' εἶπεν 'ἢν σὺ μὴ τόδε
ἀφῇς, προσοίσω σοι τὰ ⟨τῶν⟩ κυνῶν ⟨ἐγώ⟩'.
[πρὸς ἄνδρα ῥᾳδιουργὸν εὔκαιρος λόγος.]

## 228

Ἀστρολόγος ἐξιὼν ἑκάστοθ' ἑσπέρης
τοὺς ἀστέρας ⟨μὲν⟩ εἶχεν ἔθος ἐπισκοπεῖν·
εἰς τὸ προάστειον δὲ περιιών ποτε
τὸν νοῦν τ' ἔχων ἅπαντα πρὸς τὸν οὐρανὸν
ἐξέλαθεν ⟨αἴφνης⟩ καταπεσὼν εἴς τι φρέαρ.
ὠδυρμένου δὲ τοῦδε καὶ κεκραγότος
παριών τις ὡς ἤκουσε τῶν στεναγμάτων,
προσῆλθε καὶ μαθὼν τὰ συμβεβηκότα

---

τίσας **F**) καὶ τὰ τῆς ἐπιστήμης πρόσφορα ἀναλαβὼν (λαβὼν **C**) ἐργαλεῖα παρεγένετο καὶ στὰς πρὸ τῆς ἐπαύλεως ἐπυνθάνετο αὐτῶν (αὐτὰς **F**) πῶς ἔχοιεν· αἱ δὲ ὑποτυχοῦσαι (ἀποκριθεῖσαι **F**) 'καλῶς' ἔφασαν (ἔφησαν **C**), ἐὰν σὺ ἐντεῦθεν ἀπαλλαγῇς'. **FC**[1] Aug. — 1—6 rest. **G** epim. **FC** Aug. τὰ om. **FC** χρηστότητα om. **C**

**227** **F** 18 = **C** p. 350 **C** 157 Aug. 41 Ἀλώπηξ εἰσελθοῦσα εἰς ἀγέλην προβάτων (εἰς ἀγέλην προβάτων εἰσελθοῦσα **FC**) θηλαζόντων τῶν ἀρνίων (τῶν ἀρνῶν Aug. ἀρνὸν **C**) ἓν (om. **C**) λαβομένη (ἀναλαβομένη **C** (προσεποιεῖτο καταφιλεῖν. ἐρωτηθεῖσα δὲ ὑπὸ κυνός 'τί τοῦτο ποίεις'; ,τιθηνοῦμαι αὐτὸ (αὐτῷ **F** αὐτὸν **C**)' ἔφη ,καὶ προσπαίζω'. καὶ ὁ κύων ἔφη· 'καὶ νῦν ἐὰν μὴ ἀφῇς τὸ ἀρνίον (ἐφ' ἑαυτῆς add. **FC**), τὰ κυνῶν σοι προσοίσω'. — Ὁ λόγος πρὸς ἄνδρα ῥᾳδιουργὸν καὶ κλέπτην εὔκαιρός ἐστιν (Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ῥᾳδιουργὸν καὶ κλέπτην **C** πρὸς ἄνδρα ῥᾳδιουργὸν καὶ μωροκλέπτην ὁ λόγος εὔκαιρος Aug). **FC** Aug. — 1—[7] rest. **G**

**228** **F** 19 = **C** p. 354 **C** 166 Aug. 40 Ἀστρολόγος ἐξιὼν ἑκάστοτε ἑσπέρας (ἑκάστην ἑσπέραν **C**) ἔθος εἶχε τοὺς ἀστέρας ἐπισκοπεῖν (ἐπισκοπῆσαι Aug. Ἀστρολόγος ἐξιέναι ἐν ἑκάστῃ ἑσπέρᾳ καὶ τοὺς ἀστέρας ἐπισκοπεῖν ἔθος εἶχε **F**). καὶ δή ποτε περιιὼν εἰς τὸ προάστειον καὶ τὸν νοῦν ὅλον ἔχων πρὸς (εἰς **F**) τὸν οὐρανὸν (ἐν τῷ οὐρανῷ Aug.) ἐξέλαθε (ἔλαθε **F** Aug.) καταπεσὼν εἴς τι (em. **G** εἰς τὸ **F** εἰς *τὸ* **C** εἰς Aug.) φρέαρ. ὀδυρομένου δὲ αὐτοῦ καὶ βοῶντος παριών τις ὡς ἤκουσε τῶν

ἔφη πρὸς αὐτόν· ʽοὗτος, οὐρανὸν βλέπειν
πειρώμενος cὺ τἀπὶ τῆς γῆς οὐχ ὁρᾷς᾽;

Πρός τοὺς παραδόξως ἀλαζονευομένους καὶ μηδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυναμένους.

## 229

Ἐπ᾽ οἰκίης τις ἀνθρακεύς εἰργάζετο.
οὗτος δὲ γναφέα ⟨ποτὲ⟩ παροικισθέντ᾽ ἰδὼν
αὐτὸν προσελθὼν παρεκάλει, σύνοικος ὡς
αὐτῷ γένηται, ʽλυσιτελέστεροι᾽ λέγων
ʽἡμῖν ἐσόμεθ᾽ ἔπαυλιν οἰκοῦντες μίην᾽.
ὁ δὲ γναφεὺς πρὸς αὐτὸν εἶπεν ὑποτυχών·
ʽἔμοιγε τοῦτ᾽ ἀδύνατόν ἐστι παντελῶς·
σὺ γὰρ ἀσβολήσεις ὅπερ ἔγω⟨γε⟩ λευκανῶ.

Ὁ λόγος δηλοῖ ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητόν ἐστι.

## 230

Ἀνὴρ γεωργός τίς ⟨ποτε⟩ ψυχορραγῶν,
ὃς ἐβούλεθ᾽ αὑτοῦ τέκνα τῆς γεωργίης
πεῖραν λαβεῖν, ἐκαλέσατ᾽ αὐτοὺς κἄλεγεν·
ʽἔξειμ᾽ ἐγὼ μέν, παῖδες, ἤδη τοῦ βίου,
ὑμεῖς δ᾽ ἅπερ κεκρυμμέν᾽ ἔστ᾽ ἐν ἀμπέλῳ,
ζητεῖτ᾽ ⟨ἀκριβῶς⟩ καὶ ⟨τὰ⟩ πάνθ᾽ εὑρήσετε᾽.
οἱ δέ ⟨τιν᾽⟩ ἐκεῖ θησαυρὸν εἶναι προσεδόκων
τῆς τ᾽ ἀμπέλου γῆν πᾶσαν ὤρυξαν τάχα,

---

στεναγμῶν (τοῦ στεναγμοῦ **C**), προσελθὼν καὶ μαθὼν τὰ συμβεβηκότα ἔφη πρὸς αὐτόν. ʽὦ οὗτος, σὺ τὰ (ʽὦ σὺ, **C**) ἐν οὐρανῷ βλέπειν πειρώμενος τὰ ἐπὶ τῆς γῆς οὐχ ὁρᾷς᾽; **FC** Aug. — 1—10 rest. **G** epim. **C**

**229** **F** 27 = **C** p. 286 **C** 12 Aug. 29 Ἀνθρακεὺς ἐπί τινος οἰκίας ἐργαζόμενος καὶ θεασάμενος γναφέα αὐτῷ παροικισθέντα προσελθὼν παρεκάλει αὐτὸν ὅπως σύνοικος αὐτῷ γένηται, διεξιὼν ὡς οἰκειότεροι ἀλλήλοις ἔσονται καὶ λυσιτελέστεροι (διὰ add. Aug. del. Halmius) μίαν ἔπαυλιν οἰκοῦντες. καὶ ὁ γναφεὺς ὑποτυχὼν ἔφη πρὸς αὐτόν· ʽἀλλ᾽ ἔμοιγε παντελῶς τοῦτό ἐστιν ἀδύνατον· ὃ γὰρ ἐγὼ λευκανῶ, σὺ ἀσβολήσεις. Aug. — 1—8 rest. **G** 8 ἅπερ ἐγὼ λευκαίνω **C** epim. Aug.

**230** **F** 33 = **C** p. 291 **C** 22 1–2 Aug. 42 Γεωργός τις μέλλων καταλύειν τὸν βίον καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας προσκαλεσάμενος αὐτοὺς ἔφη· ʽπαῖδες ἐμοί, ἐγὼ μὲν ἤδη τοῦ βίου ὑπέξειμι, ὑμεῖς δ᾽ ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται, ζητήσαντες εὑρήσετε πάντα᾽. οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν· καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ καλῶς σκαφεῖσα πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν. — Ὁ μῦθος δηλοῖ ὅτι ὁ κάματος

ἥτις καλῶς σκαφεῖσα πολλαπλασίονα
τὸν καρπὸν ἀντέδωκεν αὐτοῖς καὶ φορήν.
[κάματος ⟨μέγας⟩ θησαυρός ἐστιν ἀνθρώποις.]

## 231

Νοσῶν πένης ⟨τις⟩ τοῖς θεοῖσιν ηὔξατο·
'ἑκατὸν προσοίσω ῥαΐσας νόσου βόας'.
τοῦτον θεοὶ πειρῶντες ἤλλαξαν πάθους.
ὁ δ' ἐξαναστὰς ⟨τῶν⟩ βοῶν ὡς ἠπόρει,
ἑκατὸν πλάσας βοῦς στεατίνους βωμοῦ τ' ἔπι
θεὶς ⟨τοῖς θεοῖσιν⟩ ὡλοκαύτωσεν λέγων·
'εὐχὴν ἀπέχετε τὴν ⟨ἐμήν⟩, ὦ δαίμονες'.
τὸν δ' οὖν θέλοντες ἀνταμύνασθαι θεοὶ
ἐνύπνιον πέμψαντες αὐτῷ ⟨τι γλυκύ⟩
'εἰς θινός' εἶπον 'ἄπιθι τόνδε τὸν τόπον,
ἐκεῖ γὰρ εὕροις Ἀττικὰς ἂν μυρίας'.
ὃς περιχαρὴς γενόμενος ἐπὶ τὴν ᾐόνα

---

θησαυρός ἐστι τοῖς ἀνθρώποις. **C** 22[1] — 1—10 rest. **G** Ἀνὴρ γεωργὸς Aug.] Ἀνὴρ τῇ τέχνῃ γεωργὸς ὑπάρχων **F** Ἀνήρ τις τῇ τέχνῃ γεωργὸς **C**[2] 9—10 ἡ δ' ἄμπελος πολλαπλασίονα τὴν φορὰν αὐτοῖς ἀντεδίδου. Aug. [11] choliambum rest. **G**

**231** **F** 36 = **C** p. 289 **C** 18 Aug. 28 Ἀνὴρ πένης νοσῶν ηὔξατο τοῖς θεοῖς λέγων ὅτι 'ἐὰν ὑγιάνω ἑκατὸν βόας προσάξω ὑμῖν εἰς θυσίαν'. οἱ δὲ πειράζειν αὐτὸν βουλόμενοι ῥᾴδιον ἀπεκατέστησαν. ἐξαναστὰς οὖν ὁ ἄνθρωπος ἐπειδὴ βοῶν ἠπόρει, στεατίνους ἑκατὸν ποιήσας βόας ἐπὶ τοῦ βωμοῦ κατέκαυσεν εἰπών· 'ὦ δαίμονες, ἰδοὺ τὴν εὐχὴν ἀπετέλεσα'. οἱ δὲ θεοὶ βουλόμενοι αὐτὸν ἀνταμύνασθαι ὄναρ ἐπιστάντες αὐτῷ εἶπον· 'ἀπελθὲ εἰς τὸν αἰγιαλὸν εἰς τόνδε τὸν τόπον καὶ εὑρήσεις ἐκεῖσε χρυσίου τάλαντα ἑκατόν'. ὁ δὲ ἔξυπνος γενόμενος μετὰ πολλῆς χαρᾶς ἦλθεν εἰς τὸν ὑποδειχθέντα αὐτῷ τόπον δρομαῖος ψηλαφῶν τὸ χρυσίον. περιπεσὼν δὲ ἐκεῖσε λησταῖς, συνελήφθη ὑπ' αὐτῶν. ὁ δὲ παρεκάλει αὐτοὺς λέγων· 'ἄφετέ με καὶ ἐπιδιδῶ ὑμῖν χρυσίου χίλια τάλαντα'. — Ὁ μῦθος δηλοῖ ὅτι οἱ ψευδεῖς τῶν ἀνθρώπων ἐχθραίνουσι τὸ θεῖον. **F** Ἀνὴρ πένης νοσῶν ηὔξατο τοῖς θεοῖς, εἰ διασωθείη, βοῦς ἑκατὸν εἰς θυσίαν προσοίσειν. οἱ δὲ θεοὶ πειρᾶσαι τοῦτον βουλόμενοι τοῦ πάθους ἀπήλλαξαν. ὁ δ' ἀναστὰς ἐπειδὴ βόων ἠπόρει, στεατίνους βοῦς ἑκατὸν πλάσας, ἐπὶ τοῦ βωμοῦ θεὶς ὡλοκαύτωσεν. οἱ δὲ θεοὶ βουλόμενοι αὐτὸν ἀμύνασθαι ὄναρ ἐπιστάντες αὐτῷ εἶπον· 'ἄπελθε εἰς τὸν αἰγιαλὸν εἰς τόνδε τὸν τόπον· ἐκεῖ γὰρ Ἀττικὰς χιλίας εὑρήσεις'. ἐκεῖνος δὲ διυπνισθεὶς σὺν ἡδονῇ καὶ σπουδῇ πρὸς τὸν ὑποδειχθέντα τόπον ἀφίκετο τὸ χρυσίου διερευνῶν. ἐκεῖ δὲ δὴ πειραταῖς περιτυχὼν ὑπ' αὐτῶν συνελήφθη. ἁλοὺς δὲ ἤδη ἀφεθῆναι τῶν πειρατῶν ἐδεῖτο χίλια χρυσίου τάλαντα δώσειν αὐτοῖς ὑπισχνούμενος. ὡς δ' οὐκ ἐπιστεύετο ἀπαχθεὶς ὑπ' αὐτῶν ἀπεμπωλήθη χιλίων δραχμῶν. — Ὁ μῦθος δηλοῖ ὅτι τοῖς ψευδέσι τῶν ἀνθρώπων ἐχθραίνει τὸ θεῖον. **C** Ἀνὴρ πένης νοσῶν καὶ κακῶς διακείμενος ηὔξατο τοῖς θεοῖς ἑκατόμβην τελέσαι, εἰ περισώσειαν αὐτόν. οἱ δὲ ἀπόπειραν αὐτοῦ ποιήσασθαι βουλόμενοι ῥαΐσαι τάχιστα αὐτὸν παρεσκεύασαν· κἀκεῖνος ἐξαναστὰς ἐπειδὴ ἀληθινῶν βοῶν ἠπόρει, στεατίνους ἑκατὸν πλάσας ἐπί τινος βωμοῦ κατέκαυσεν εἰπών· 'ἀπέχετε τὴν εὐχήν, ὦ δαίμονες'. οἱ δὲ θεοὶ βουλόμενοι αὐτὸν ἐν μέρει ἀντιβουκολῆσαι ὄναρ αὐτῷ ἔπεμψαν παραινοῦντες ἐλθεῖν εἰς τὸν αἰγιαλόν· 'ἐκεῖ γὰρ

δρομαῖος ἧκεν, ἔνθα ληςταῖς περιτυχὼν
πωλούμενός τ' ⟨ἄρ'⟩ εὗρε δράχμας χιλίας.
[πρὸς ἄνδρα ψεύςτην ⟨ἐςτὶν⟩ ὁ λόγος καίριος.]

## 232

Ἀναρχίαιςι βάτραχοι λυπούμενοι
πρέςβεις ἔπεμψαν ἱκετεύοντες Δία
δοῦναι βαςιλέα. τῶν δὲ τὴν εὐηθίην
ὁ Ζεὺς ἰδὼν καθῆκεν εἰς λίμνην ξύλον.
ςυςταλμένοι μὲν βάτραχοι πρῶτον φόβῳ
κατέδυςαν ⟨εὐθὺς⟩ εἰς τὰ τῆς λίμνης βάθη.
ἔπειτα δ', ὡς τοῦτ' εἶχ' ἀκινήτως ⟨πάνυ⟩,
ἀναδύντες εἰς τοςοῦτον ἦλθον ὕβρεως
ὡς κἀπιβάντες ἐπικαθέζεςθαι ξύλῳ.
ἔχειν δ' ἀπαξιοῦντες αὐτὸ βαςιλέα
ἐκ δευτέρου πρὸς τὸν Δί' ἧκον καὶ ⟨'πάτερ,⟩
ἀρχηγὸν ἡμῖν' εἶπον 'ἄλλαξον ⟨πάλιν⟩·
λίην ὁ πρῶτος ἀδόκιμος καὶ νωχελής'.
τότ' ἔδωκεν αὐτοῖς βαςιλέα ⟨Ζεὺς⟩ ἔγχελυν·
ὃν οὐδὲ κατεδέξαντο μωρίης χάριν.
πρὸς τὸν Δί' οὖν αἰτοῦντες ἦλθον ἐκ τρίτου·
'καὶ τοῦτον ⟨ἡμῖν, Ζεῦ, κατ⟩αλλάξαις ⟨ἔτι⟩'.

---

εὑρήςεις Ἀττικὰς μυρίας'. καὶ ὃς περιχαρὴς γενόμενος δρομαῖος ἧκεν ἐπὶ τὴν ᾐόνα, ἔνθα δὴ ληςταῖς περιτυχὼν ἀπήχθη καὶ ὑπ' αὐτῶν πωλούμενος εὗρε δραχμὰς χιλίας. — Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ψευδολόγον. Aug. — 1—[15] rest. **G**

**232** **F** 37 = **C** p. 355 **C** 167¹⁻²; cf. fab. 167 huius editionis. Βάτραχοι λυπούμενοι περὶ τῆς ἑαυτῶν ἀναρχίας πρέςβεις ἔπεμψαν πρὸς τὸν Δία βαςιλέα αὐτοῖς παραςχεῖν. ὁ δὲ ςυνιδὼν αὐτῶν τὴν εὐήθειαν ξύλον εἰς τὴν λίμνην καθῆκεν. καὶ οἱ βάτραχοι τὸ μὲν πρῶτον καταπλαγέντες τὸν ψόφον εἰς τὰ βάθη τῆς λίμνης ἔδυςαν· ὕςτερον δὲ ὡς ἀκίνητον ἦν τὸ ξύλον, ἀναδύντες εἰς τοςοῦτον καταφρονήςεως ἦλθον ὡς καὶ ἐπιβαίνοντες αὐτῷ ἐπικαθέζεςθαι. ἀναξιοπαθοῦντες δὲ τοιοῦτον ἔχειν βαςιλέα ἧκον ἐκ δευτέρου πρὸς τόν Δία καὶ τοῦτον παρεκάλουν ἀλλάξαι αὐτοῖς τὸν ἀρχηγόν· τὸν γὰρ πρῶτον λίαν εἶναι νωχελῆ καὶ ἀδόκιμον. ὁ δὲ Ζεὺς ἀγανακτήςας κατ' αὐτῶν ὕδρον αὐτοῖς ἔπεμψεν, ὑφ' οὗ ςυλλαμβανόμενοι κατηςθίοντο. — Ὁ λόγος δηλοῖ ἄμεινον εἶναι εὐήθεις ἄρχοντας ἔχειν καὶ ἐπιεικεῖς ἢ ταρακτικοὺς καὶ κακούργους **C**¹ Βάτραχοι λυπούμενοι ἐπὶ τῇ αὐτῶν ἀναρχίᾳ πρέςβεις ἔπεμψαν ἱκετεύοντες τὸν Δία ὅπως αὐτοῖς βαςιλέα παράςχοι. ὁ δε ςυνιδὼν αὐτῶν τὴν εὐήθειαν ξύλον ἔπηξε μέςον τῆς λίμνης. ςυςτελλόμενοι δὲ τῷ φόβῳ οἱ βάτραχοι εἰς τὰ βάθη κατέδυον. χρόνου δὲ πολλοῦ παρῳχηκότος ὡς ἑώρων τὸ ξύλον ἀκίνητον, ἀπεβάλοντο τὸν φόβον καὶ τοςοῦτον κατεφρόνηςαν αὐτοῦ ὡς ἐπιβαίνειν καὶ ἐπικαθέζεςθαι τούτῳ. μὴ ἀξιοῦντες δ' αὐτὸ ἔχειν βαςιλέα ἐκ δευτέρου ἦλθον εἰς τὸν Δία καὶ παρεκάλουν ἀλλάξαι αὐτόν. τότε δέδωκεν αὐτοῖς βαςιλέα ἔγχελυν. ἰδόντες δὲ αὐτοῦ τὴν εὐήθειαν οὐ κατεδέξαντο αὐτόν. ἦλθον οὖν ἐκ

τοῖc δ᾽ οὖν ἔπεμψε Ζεὺc χολωθεὶc τὴν ὕδραν,
ἥτιc κατήcθι᾽ ἕνα καθ᾽ ἕνα τῶν βατράχων.

Ὁ μῦθοc δηλοῖ ὅτι ἄμεινόν ἐcτι θεῷ πείθεcθαι καὶ μὴ πονηροὺc ἔχειν ἄρχονταc καὶ ταραχοποιούc.

## 233

Νέοι μαγείρῳ παρεκάθηντο δύο ⟨ποτέ⟩.
περὶ δ᾽ ἴδιον αὐτοῦ τοὖργον ἀcχολουμένου
τούτων μέροc τι τῶν κρέων ⟨ῥίμφ᾽⟩ ἅτεροc
ὑφελόμενοc εἰc τὸν κόλπον ἧκε θατέρου.
ἐπιcτραφέντοc οὖν μαγείρου καὶ κρέαc
ζητοῦντοc ὃc μὲν ἔλαβεν ὤμνυ᾽ ʻοὐκ ἔχω᾽,
ὃc δ᾽ εἶχεν, ⟨αὐτὸ⟩ μη⟨δαμῶc⟩ εἰληφέναι.
τῶν δ᾽ ⟨οὖν⟩ μάγειροc τὴν κακουργίην ἰδών
ʻἀλλ᾽ʼ εἶπε ʻκἂν λάθητε ⟨θνητὸν ὄντ᾽⟩ ἐμέ,
οὔκουν θεόν γε λήcετ᾽ ἐπιορκούμενον᾽.

Ὁ μῦθοc δηλοῖ ὅτι κἂν ἀνθρώπουc ἐπιορκοῦντεc λάθωμεν, ἀλλὰ τόν γε θεὸν οὐ λήcομεν.

## 234

Ἔλαφοc διωχθεὶc ὑπὸ κυνηγῶν ἐκρύβη
ὑπ᾽ ἄμπελόν τιν᾽· οἱ δ᾽ ἐπεὶ παρῄεcαν,
κατήcθιεν cτραφεῖcα φυλλάδ᾽ ἀμπέλου.
ἐπιcτραφεὶc δέ τιc κυνηγῶν κεἰcιδὼν
ἔτρωcεν αὐτὴν ⟨τῷ γ᾽⟩ ἀκοντίῳ βαλών.
ἡ δ᾽ ἀποθανεῖν μέλλουcα πρὸc ἑαυτὴν ἔφη·
δίκαια πάcχω καταδακοῦc᾽ εὐεργέτιν᾽.

Οὗτοc ὁ λόγοc λεχθείη ἂν κατ᾽ ἀνδρῶν οἵτινεc τοὺc εὐεργέταc ἀδικοῦντεc ὑπὸ τοῦ θεοῦ κολάζονται.

---

τρίτον πρὸc τὸν Δία καὶ παρεκάλουν ὅπωc καὶ τοῦτον ἀλλάξῃ. ὁ δὲ Ζεὺc ἀγανακτήcαc κατ᾽ αὐτῶν ὕδραν ἔπεμψεν, ἥτιc ἕνα καθ᾽ ἕνα τῶν βατράχων ἤcθιεν. **C**$^2$ — 1—19 rest. **G** epim. **C**$^2$

**233** **F** 60 = **C** p. 293 **C** 26 Aug. 66 Δύο νεανίcκοι μαγείρῳ παρεκάθηντο. καὶ δὴ τοῦ μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀcχολουμένου ἅτεροc τούτων μέροc τι τῶν κρεῶν ὑφελόμενοc εἰc τὸν θατέρου καθῆκε κόλπον. ἐπιcτραφέντοc δὲ τοῦ μαγείρου καὶ τὸ κρέαc ἐπιζητοῦντοc ὁ μὲν εἰληφὼc ὤμνυε μὴ ἔχειν, ὁ δ᾽ ἔχων μὴ εἰληφέναι. ὁ δὲ μάγειροc αἰcθόμενοc τὴν κακουργίαν αὐτῶν εἶπεν· ʻἀλλὰ κἂν ἐμὲ λάθητε, τόν γ᾽ ἐπιορκούμενον θεὸν οὔκουν λήcετε᾽ (em. Halmius; λήcεcθε **C**). **C** — 1—10 rest. **G**

**234** **F** 65 = **C** p. 314 **C** 65$^{1-2}$ Aug. 78 Ἔλαφοc διωκομένη ὑπὸ κυνηγῶν ἐκρύπτετο ὑπό τινα ἄμπελον· διελθόντων δὲ τῶν κυνηγῶν cτραφεῖcα τὰ φύλλα τῆc ἀμπέλου κατήcθιεν. εἷc δέ τιc τῶν κυνηγῶν cτραφεὶc καὶ θεαcάμενοc ὡc εἶχεν, ἀκοντίῳ βαλὼν ἔτρωcεν αὐτήν· ἡ δὲ μέλλουcα τελευτᾶν cτενάξαcα πρὸc ἑαυτὴν ἔφη· ʻδίκαια πάcχω, ὅτι τὴν cώcαcάν με ἄμπελον ἠδίκηcα᾽. Aug. — 1—7 rest. **G**
1 ἐκρύβη **C**$^{1-2}$ 2 οἱ δ᾽ ἐπεὶ παρῄεcαν **G**] παρελθόντων δὲ ὀλίγον ἐκείνων **C**$^1$
4 ἐπιcτραφεὶc **G**] οἱ κυνηγοὶ ἐπιcτραφέντεc **C**$^1$

## 235

Ἔν τινί ⟨ποτ'⟩ ἦςαν οἰκίῃ πολλοὶ μύες.
ἐνταῦθα δ' αἴλουρός ⟨τις⟩ ἧκε τοῦτο γνοὺς
ςυλλαμβάνων θ' ἕκαςτον ἕνα κατήςθιεν.
ςυνεχῶς δ' ἀναλωθέντες εἶπον οἱ μύες·
'κατὰ τῶν ὀπῶν δύνωμεν ἵνα μὴ παντελῶς
ἀπολώμεθ'· οὐ γὰρ ἂν ἐφίκοιθ' ἡμᾶς ἐκεῖ'.
ὁ δ' ἐκκαλεῖςθαι δι' ἐπινοίας δεῖν ἔγνω·
ἀναβὰς δ' ἐπί τινα πάςςαλόν τε καὶ νεκρὸν
ἐςχημάτιζεν αὐτὸν ἔνθεν κρεμάμενος.
τὸν δ' ὡς μυῶν τις εἶδε παρακύψας ἔφη·
'οὐδ' ἢν θύλαξ γένῃ ςύ, ςοὶ προςέρχομαι'.

Ὁ λόγος δηλοῖ ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶςιν, οὐκέτι αὐτῶν ταῖς ὑποκρίςεςιν ἐξαπατῶνται.

## 236

Μέλιτός ⟨ποτ'⟩ ἐκχυθέντος ἐν τόπῳ τινὶ
μυῖαι προςέπταςάν τε καὶ κατήςθιον·
καρποῦ δὲ διὰ γλυκαςμὸν οὐκ ἀφέςταςαν.

---

**235** **F** 67 = **C** p. 294 **C** 28 Aug. 80 Ἔν τινι οἰκίᾳ πολλοὶ μύες ἦςαν. αἴλουρος δὲ τοῦτο γνοὺς ἧκεν ἐνταῦθα καὶ ςυλλέγων ἕνα καθ' ἕνα κατήςθιεν. οἱ δὲ μύες ςυνεχῶς ἀναλιςκόμενοι εἶπον πρὸς ἑαυτούς· 'ἕτοιμοι κατέλθωμεν κάτω καὶ ἐπὶ τῶν ὀπῶν δύνωμεν, ἵνα μὴ παντελῶς ἀπολεςθῶμεν· τοῦ γὰρ αἰλούρου μηκέτι δυναμένου ἀφικνεῖςθαι ἐκεῖςε ἡμεῖς διαςωθηςόμεθα'. ὁ δὲ μὴ δυνάμενος αὐτῶν ἀφικέςθαι δεῖν ᾠήθη καὶ ἔγνω δι' ἐπινοίας καὶ μηχανῆς αὐτοὺς ἐκκαλεῖςθαι. ἀναβὰς γὰρ ἐπί τινα πάςςαλον καὶ ἑαυτὸν ἔνθεν ἀποκρημνίςας τε καὶ κρεμάςας προςεποιεῖτο αὐτὸν νεκρὸν εἶναι. τῶν δὲ μυῶν τις παρακύψας ὡς ἐθεάςατο, αὐτόν, ἔφη· 'ὦ οὗτος, κἂν θύλαξ γένῃ ςύ, οὐ προςελευςόμεθά (em. **G** ex **C** Aug. προελευςόμεθά **F**) ςοι'. **F** Ἐν οἰκίᾳ τινὶ πολλῶν μυῶν ὄντων αἴλουρος τοῦτο γνοὺς ἧκεν ἐνταῦθα καὶ καθ' ἕκαςτον αὐτῶν ςυλλαμβάνων κατήςθιεν. οἱ δὲ καθ' ἑκάςτην ἑαυτοὺς ἀναλιςκομένους ὁρῶντες ἔφαςαν πρὸς ἀλλήλους· 'μηκέτι κάτω κατέλθωμεν, ἵνα μὴ παντάπαςιν ἀπολώμεθα· τοῦ γὰρ αἰλούρου μὴ δυναμένου δεῦρο ἐξικνεῖςθαι ἡμεῖς ςωθηςόμεθα'. ὁ δὲ αἴλουρος μηκέτι τῶν μυῶν κατιόντων ἔγνω δι' ἐπινοίας αὐτοὺς ςοφιζόμενος ἐκκαλέςαςθαι. καὶ δὴ ἀπὸ παττάλου τινὸς ἑαυτὸν ἀναβὰς ἀπῃώρηςε καὶ προςεποιεῖτο νεκρὸς εἶναι. τῶν δὲ μυῶν τις παρακύψας καὶ ἰδὼν αὐτὸν ἔφη· 'ὦ οὗτος, κἂν θύλαξ γένῃ, οὐ προςελεύςομαί ςοι'. **C** Ἔν τινι οἰκίᾳ πολλοὶ μύες ἦςαν. αἴλουρος δὲ τοῦτο γνοὺς ἧκεν ἐνταῦθα καὶ ςυλλαμβάνων ἕνα ἕκαςτον κατήςθιεν. οἱ δὲ μύες ςυνεχῶς ἀναλιςκόμενοι κατὰ τῶν ὀπῶν ἔδυνον καὶ ὁ αἴλουρος μηκέτι αὐτῶν ἐφικέςθαι δυνάμενος δεῖν ἔγνω δι' ἐπινοίας αὐτοὺς ἐκκαλεῖςθαι. διόπερ ἀναβὰς ἐπί τινα πάςςαλον καὶ ἑαυτὸν ἐνθένδε ἀποκρεμάςας προςεποιεῖτο νεκρόν. τῶν δὲ μυῶν τις παρακύψας ὡς ἐθεάςατο αὐτόν, εἶπεν· 'ἀλλ', ὦ οὗτος, ςύ γε κἂν θύλαξ γένῃ, οὐ προςελευςόμεθα'. Aug. — 1—11 rest. **G** epim. **F** **C** Aug.

**236** **F** 68 = **C** p. 318 **C** 89 Aug. 81 Ἔν τινι ταμείῳ (ταμιείῳ **F**) μέλιτος ἐκχυθέντος μυῖαι προςπτᾶςαι (περιςτᾶςαι **F**) κατήςθιον· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίςταντο. ἐμπαγέντων δὲ αὐτῶν

ὡς δ' ἐμπαγέντων τῶν ποδῶν ᾄσσειν ἄνω
οὐκ ἠδύναντ', ἔφησαν· 'ἡμεῖς ἄθλιαι,
αἳ διὰ βραχεῖαν ἡδονὴν ὀλούμεθα'.
[πολλοῖσι μήτηρ ἡ λιχνεία τῶν κακῶν.]

## 237

Δέλφαξ ἐσελθὼν ἐνέμετ' ἐν ποίμνῃ τινί.
καὶ δή ποτ' αὐτὸν συλλαβόντος ποιμένος
ἐκεκράγει τε κἀντέτεινε ⟨πόλλ' ἄγαν⟩.
τὰ δὲ πρόβατα δέλφακ' ᾐτιῶντο· 'μὴ βόα·
ἡμᾶς γὰρ αἰὲν λαμβάνει κοὐ κράζομεν'.
ὁ δ' 'οὐχ ὁμοίως' εἶπεν 'ἡμᾶς λαμβάνει·
ὑμᾶς ἀγρεύει γὰρ δι' ἔρια καὶ γάλα,
διὰ τὸ κρέας δὲ ⟨μοῦνον⟩ ἐμὲ ⟨συλλαμβάνει⟩'.

Ὁ λόγος δηλοῖ ὅτι εἰκότως ἐκεῖνοι ἀνοιμώζουσιν οἷς ὁ κίνδυνος οὐ περὶ χρημάτων ἐστίν, ἀλλὰ περὶ αὐτῆς τῆς σωτηρίας.

## 238

Θέρους ⟨ἐν⟩ ὥρῃ περιπατῶν μύρμηξ ⟨ποτὲ⟩
κριθίδια πυρούς τ' ἔλεγε κατ' ἄρουράν τινα
αὑτῷ τροφὴν χειμῶνος ἀποθησαυριῶν.
τὸν δ' ὡς ἑώρα κάνθαρος τεθαυμάκει
ὡς ἐπίπονόν ⟨τε καὶ ταλαιπωρούμενον⟩

---

(δ' αὐτῶν Aug.) τῶν ποδῶν ὡς οὐκ ἠδύναντο ἀναπτῆναι ἀποπνιγόμεναι ἔφασαν (τῶν ποδῶν αὐτῶν ἀναπτῆναι οὐκ εἶχον· ἀποπνιγόμεναι δ' ἔλεγον· **C**) 'ἄθλιαι ἡμεῖς, αἳ (ὅτι **C**) διὰ βραχεῖαν ἡδονὴν (βρῶσιν **C**) ἀπολλύμεθα'. — Οὕτω πολλοῖς (πολλάκις (Aug.) ἡ λιχνεία πολλῶν κακῶν αἰτία (αἰτία κακῶν Aug.) γίνεται. **F C** Aug. — 1—[7] rest. **G**

**237** **F** 72 = **C** p. 362 Aug. 86 Ἔν τινι ποίμνῃ (προβάτων add. **F**) δέλφαξ εἰσελθὼν ἐνέμετο. καὶ δή ποτε τοῦ ποιμένος συλλαμβάνοντος αὐτὸν ἐκεκράγει τε καὶ ἀντέτεινε. τῶν δὲ προβάτων αὐτὸν αἰτιωμένων ἐπὶ τῷ βοᾶν καὶ λεγόντων 'ἡμᾶς μὲν (γὰρ **F**) συνεχῶς συλλαμβάνει καὶ οὐ κράζομεν' ἔφη πρὸς ταῦτα· 'ἀλλ' οὐχ ὁμοία (γε add. **F**) τῇ ὑμετέρᾳ ἡ ἐμὴ σύλληψις· ὑμᾶς γὰρ ἢ διὰ τὰ ἔρια ἀγρεύει ἢ διὰ τὸ γάλα, ἐμὲ δὲ διὰ τὸ κρέας'. **F** Aug. — 1—8 rest. **G** epim. **F** Aug. ὁ et αὐτῆς τῆς om. **F**

**238** **F** 84 = **C** p. 384 **C** 244 Aug. 111 Θέρους ὥρᾳ (Ὥρᾳ θέρους **C**) μύρμηξ περιπατῶν (περιιὼν **C**) κατὰ τὴν (κατά τινα **C**) ἄρουραν πυροὺς (σίτους Aug.) καὶ κριθὰς συνέλεγεν ἀποθησαυριζόμενος ἑαυτῷ τροφὴν εἰς τὸν χειμῶνα. κάνθαρος δὲ τοῦτον θεασάμενος ἐθαύμασεν (ἐταλάνιζεν **C**) ὡς ἐπιπονώτατον, εἴγε παρ' αὐτὸν (ὅλον **C**) τὸν καιρὸν μοχθεῖ παρ' ὃν τὰ ἄλλα ζῷα πόνων ἀφειμένα ῥᾳστώνην ἄγει (ἀφέμενα ἐν ῥᾳστώνῃ διάγουσιν **F** μοχθεῖ παρὰ πάντα τὰ ζῷα **C**). ὁ δὲ (μύρμηξ add. **C**) τότε μὲν ἡσύχαζεν, ὕστερον δὲ ὅτε (ὡς **F**) χειμὼν ἐνέστη (ἀνέστη **F** ἡσυχάσας ὑπήνεγκε. χειμῶνος δὲ ἐπιγενομένου **C**) καὶ ἡ κόπρος ὕετο τῷ ὄμβρῳ κλυσθεῖσα, (καὶ [καὶ om. Aug.] τῆς κόπρου ὑπὸ τοῦ ὄμβρου κλυσθείσης [τῶν ὑδάτων κατακλυσθείσης **C**] **C** Aug.) ὁ κάνθαρος (λιμώττων hic habet **C**)

παρ' ὃν χρόνον ⟨δὴ τῶν⟩ πόνων ἀφειμένα
ἅπαντα τἆλλα ζῷα ῥᾳστώνην ἄγει.
ὁ δὲ τότε μὲν ἡσύχαζεν· ὕστερον δ' ὅτε
χειμὼν ἐνέστη χῇ ⟨γε⟩ κόπρος ὕετο,
ἧκεν πρὸς αὐτὸν κάνθαρος ζητῶν τροφήν.
ὁ δὲ πρὸς αὐτόν 'ἀλλ'' ἔφης' 'ὦ κάνθαρε,
εἰ τότ' ἐπόνεις ὅτ' ἐμὲ μογοῦντ' ἐλοιδόρεις,
οὐκ ἂν τροφῆς ⟨cὺ⟩ νῦν μεταλαβεῖν ἐπεδέου'.

Οὕτως οἱ περὶ τὰς εὐθηνίας τοῦ μέλλοντος μὴ προνοούμενοι παρὰ τὰς τῶν καιρῶν μεταβολὰς τὰ μέγιστα δυστυχοῦσιν.

## 239

Λέων ἀκούσας βατράχου κεκραγότος
ἐπεστράφη τι ζῷον εἶναι ⟨παμ⟩μέγα
οἰόμενος· ὡς δὲ μικρὸν ἐπιμείνας χρόνον
κατεῖδε λίμνης ἐξιόντα βάτραχον,
αὐτὸν προσελθὼν κατεπάτησε κἄλεγεν·
'μηδέν' ἀκοὴ πρὸ τῆς θέης ταραττέτω'.
[πρὸς τὸν δυνάμενον πλεῖον οὐδὲν ἢ λαλεῖν.]

## 240

Εἰσῆλθεν εἰς ἔπαυλιν ἀγροίκου λέων·
ὁ δὲ συλλαβεῖν βουλόμενος ἔκλεισεν θύρην.
ὃς μὴ δυνάμενος ἐκφυγεῖν τὰ ποίμνια

---

ἧκε (ἧκεν ὁ κάνθαρος **F**) πρὸς αὐτὸν λιμώττων (πρὸς τὸν μύρμηκα **C**) καὶ (om. **C**) τροφῆς (τροφῶν Aug.) μεταλαβεῖν δεόμενος (ἐδέετο **F**). ὁ δὲ πρὸς αὐτὸν ἔφη (ἔφη πρὸς αὐτὸν **C** Aug.)· 'ὦ κάνθαρε, ἀλλ' εἰ τότε ἐπόνεις ὅτε με μοχθοῦντα (ἐμόχθουν καί με Aug.) ὠνείδιζες, οὐκ ἂν νῦν τροφῆς ἐπεδέου'. **FC** Aug. — rest. **G** epim. Aug.

**239** **F** 90 = **C** p. 298 **C** 37 Aug. 139 Eberhard p. 95 sq. 3 Λέων ἀκούσας (ποτὲ add. **C**) βατράχου (μέγα add. **FC**) κεκραγότος (βοῶντος **C**) ἐπεστράφη πρὸς τὴν φωνὴν οἰόμενος μέγα τι ζῷον εἶναι. προσμείνας δὲ μικρὸν χρόνον (χρόνον om. **C**) ὡς εἶδεν (ἐθεάσατο **F** Aug.) αὐτὸν (τοῦτον **F** προελθόντα hic habet **C**) ἀπὸ (ἐκ **F** om. **C**) τῆς λίμνης ἐξελθόντα (ἀπελθόντα **F**), προσελθὼν (αὐτὸν hic add. **C**, post κατεπάτησεν **F**) κατεπάτησεν εἰπών· 'μηδένα ἀκοὴ ταραττέτω πρὸ τῆς θέας'. — 'Ὁ μῦθος οὗτος (λόγος εὔκαιρος Aug.) πρὸς ἄνδρα γλωσσώδη οὐδὲν (μηδὲν **F**) πλέον τοῦ λαλεῖν δυνάμενον (κατεπάτησεν. — 'Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ πρὸ τῆς ὄψεως δι' ἀκοῆς μόνης ταράττεσθαι **C**). **FC** Aug. — 1 prorsus, 6 fere integrum legi apud **F** et in Aug. vidit Eberhardus, qui hanc fabulam ita restituebat: Λέων ἀκούσας βατράχου κεκραγότος Οἰόμενος εἶναι ζῷον αὐτὸ παμμέγα.. 'Ὡς εἶδε λίμνης ἐξιόντα βάτραχον Τοῦτον προσελθὼν εὐθὺ κατεπάτει λέγων· 'Μηδέν' ἀκοὴ πρὸ τῆς θέας ταραττέτω'. 2—5 et [7] rest. **G**

**240** **F** 93 = **C** p. 375 **C** 220 Aug. 142 Λέων εἰς ἔπαυλιν γεωργοῦ εἰσῆλθεν· ὁ δὲ συλλαβεῖν (αὐτὸν add. **FC**) βουλόμενος τὴν αὐλείαν (em. Halmius; αὐλιαίαν **F** Aug. αὔλειον **C**) θύραν ἔκλεισε. καὶ ὃς (ὁ δὲ **C**) ἐξελθεῖν μὴ δυνάμενος πρῶτον μὲν τὰ ποίμνια διέφθειρεν, ἔπειτα

ἔφθειρεν, εἶτα κἀπὶ τοὺς βοῦς ἐτράπη.
δείσας δ' ἑαυτῷ κεῖνος ἤνοιξεν θύρην.
ἀπαλλαγέντος οὖν λέοντος ἡ γυνὴ
αὐτὸν στένοντ' ἰδοῦσά φησιν· 'ἀλλὰ σὺ
δίκαια πάσχεις· τί γὰρ ἐνέκλειες δόμῳ
τοσοῦτον ὃν καὶ μακρόθεν σ' ἔδει τρέμειν';

Οὕτως οἱ τοὺς ἰσχυροτέρους διερεθίζοντες εἰκότως τὰς ἐξ αὐτῶν πλημμελείας ὑπομένουσι.

## 241

Ἐμάχοντο βρῶμ' εὑρόντες ἄρκτος καὶ λέων.
δεινῶς δὲ κατακοπέντες ἐκ πολλῆς μάχης
σκοτοδινιῶντες θ' ἡμιθνῆτες κείατο.
κερδὼ δὲ περιιοῦσα καὶ πεπτωκότας
ἰδοῦσα καὶ τὸ βρῶμα κείμενον μέσον,
ἅρασα τοῦτο ⟨μάλα⟩ δρομαῖος ᾤχετο.
οἱ δ' εἶπον, ὡς οὐκ ἠδύναντ' αἴρειν πόδας·
'δι' ἀλώπεκ' οὖν ἐμαχόμεθ' ἡμεῖς ἄθλιοι'.

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ κοπιῶντες καὶ μοχθοῦντες ἑτέροις κέρδος προσκτῶνται.

## 242

Λέων λαγωῷ περιτυχὼν κοιμωμένῳ
ἔμελλε τοῦτον καταφαγεῖν· μεταξὺ δὲ

---

δὲ καὶ ἐπὶ τοὺς βόας ἐτράπη. καὶ ὁ γεωργὸς φοβηθεὶς περὶ ἑαυτοῦ (αὐτοῦ Aug.) τὴν θύραν ἤνοιξεν (ἠνέῳξεν **F** ἀνέῳξε **C**). ἀπαλλαγέντος δὲ τοῦ λέοντος (τοῦ δὲ λέοντος ἐξελθόντος **C**) ἡ γυνὴ θεασαμένη αὐτὸν στένοντα (θεασαμένη ἡ γυνὴ τὸν ἄνδρα στενάζοντα καὶ λυπούμενον **C**) εἶπεν· 'ἀλλά γε σὺ δίκαια πέπονθας· τί γὰρ τοσοῦτον συγκλεῖσαι ἠβούλου (συγκλεῖσαι τοῦτον ἠβουλήθης **F** τοῦτον συνέκλεισας **C**) ὃν καὶ (ἀπὸ add. Aug.) μακρόθεν σε ἔδει τρέμειν (ἔδει σε φεύγειν **C**)'; **FC** Aug. — 1—9 rest. **G** epim. **FC** Aug. οἱ πονηροὶ Aug. τὰς ἑαυτῶν Aug.

**241** **F** 96 = **C** p. 299 **C** 39^1–2^ Λέων καὶ ἄρκτος βρῶμά τι εὑρόντες ἐν ἕλει περὶ τούτου ἐμάχοντο. δεινῶς οὖν ὑπ' ἀλλήλων κατακοπέντες ἐσκοτίσθησαν ἐκ τῆς πολλῆς μάχης καὶ ἔκειντο ἡμιθανεῖς. ἀλώπηξ δὲ περιιοῦσα καὶ θεασαμένη πεπτωκότας, ἰδοῦσα καὶ τὸ βρῶμα κείμενον ἐν μέσῳ, ἅρασα τοῦτο δρομαῖος ᾤχετο. οἱ δὲ ἰδόντες αὐτὴν καὶ μὴ δυνάμενοι ἀναστῆναι εἶπον· 'ἄθλιοι ὄντως ἡμεῖς, ὅτι δι' ἀλώπεκα ἐμαχόμεθα'. **C**² Λέων καὶ ἄρκτος ὁμοῦ νεβρῷ περιτυχόντες περὶ τούτου ἐμάχοντο. δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντες ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιᾶσαι ἀπαυδήσαντες ἔκειντο. ἀλώπηξ δὲ κύκλῳ περιιοῦσα, πεπτωκότας αὐτοὺς ἰδοῦσα καὶ τὸν νεβρὸν ἐν τῷ μέσῳ κείμενον, τοῦτον διὰ μέσου ἀμφοῖν διαδραμοῦσα καὶ ἁρπάσασα, φεύγουσα ᾤχετο. οἱ δὲ βλέποντες μὲν αὐτήν, μὴ δυνάμενοι δὲ ἀναστῆναι 'δείλαιοι ἡμεῖς' εἶπον, 'ὅτι δι' ἀλώπεκα ἐμοχθοῦμεν'. — Ὁ μῦθος δηλοῖ ὅτι ἄλλων κοπιώντων ἄλλοι κερδαίνουσιν. **C**¹ — 1—8 rest. **G** epim. **C**²

**242** **F** 97 = **C** p. 376 **C** 224 Aug. 146 Λέων περιτυχὼν (ἐπιτυχὼν Aug.) λαγωῷ κοιμωμένῳ τοῦτον ἔμελλε καταφαγεῖν· μεταξὺ δὲ

παριοῦcαν ἔλαφον ὡc ἑωράκει ⟨λέων⟩,
κείνην ἀφεὶc λαγωὸν ἐδίωκεν ⟨δρόμῳ⟩.
ὁ μὲν ἐξαναcτὰc ἔφυγεν οὖν ἀπὸ ψόφων·
ὁ δὲ πολὺ διώξαc ὡc λαβεῖν οὐκ ἐδύνατο
τὴν ἔλαφον, ἐπὶ λαγωὸν ἐπανῆλθεν πάλιν.
εὑρὼν δ' ἔφη κακεῖνον ⟨ἐκ⟩πεφευγότα·
'ἔγωγε ⟨ταῦτα⟩ cὺν δίκῃ πέπονθ', ὅτι
προὔκριν' ἀφεὶc τἀν χερcὶ μείζον' ἐλπίδα'.

Οὕτωc ἔνιοι τῶν ἀνθρώπων μὴ μετρίοιc κέρδεcιν ἐπαρκούμενοι λανθάνουcι καὶ τὰ ἐν χερcὶ προιέμενοι.

## 243

Μύρμηξ ὁ νῦν ἄνθρωποc ἦν ἐκ τοῦ πάλαι
διηνεκῶc τε διαπονῶν γῆν οὐχὶ τοῖc
ἰδίοιc πόνοιc ἠρκεῖτο ⟨μοῦνον⟩, ἀλλὰ καὶ
καρποὺc ὑπ⟨εξ⟩ῃρεῖτο τοὺc τῶν γειτόνων.
πλεονεξίηc δὲ Ζεὺc χολωθεὶc τόνδ' ἐc ὃ
μύρμηξ καλεῖται μετέβαλεν τὸ θηρίον.
εἶδοc δὲ μοῦνον οὗτοc ἤλλαξ', οὐχὶ νοῦν·
κατὰ τὰc ἀρούραc γὰρ περιιὼν μέχρι νῦν
ἑτέρων ἑαυτῷ τοὺc πόνουc cυν⟨εκ⟩λέγει.

Ὁ μῦθοc δηλοῖ ὅτι φύcει πονηροί, κἂν τὰ μάλιcτα τὸ εἶδοc μεταβληθῶcι, τὸν τρόπον οὐ μεταβάλλονται.

---

θεαcάμενοc (θεαcαμένη Aug.) ἔλαφον παριοῦcαν ἀφεὶc τὸν λαγωὸν ἐκείνην ἐδίωκεν. ὁ μὲν οὖν ἀπὸ (τῶν add. **F** Aug.) ψόφων ἐξαναcτὰc ἔφυγεν (ἔφευγεν Aug.)· ὁ δὲ λέων ἐπὶ πολὺ διώξαc τὴν ἔλαφον ἐπειδὴ καταλαβεῖν οὐκ ἠδυνήθη, ἐπανῆλθε πάλιν (ἐπανῆλθεν sine πάλιν **C** Aug.) ἐπὶ τὸν λαγωόν. εὑρὼν δὲ κἀκεῖνον (καὶ αὐτὸν **F** Aug.) πεφευγότα ἔφη· 'ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὅτι (περ add. **F** Aug.) ἀφεὶc τὴν ἐν χερcὶ βορὰν μείζονα ἐλπίδα (ἐλπίδα μείζονα Aug.) προὔκρινα (προέκρινα **C** ἀδήλοιc ἐλπίcιν ἐδίωκον **F**)'. **FC** Aug. — 1—10 rest. **G** epim. **F** Aug. μικροῖc κέρδεcι μὴ ἀρκούμενοι **F**

**243** **F** 116 = **C** p. 319 **C** 108 Aug. 164 Μύρμηξ ὁ νῦν τὸ πάλαι (παλαιὸν **C** Aug.) ἄνθρωποc ἦν· καὶ τῇ γεωργίᾳ διηνεκῶc (διηνεκῶc om. **F** Aug.) προcέχων τοῖc ἰδίοιc πόνοιc οὐκ ἠρκεῖτο (οὐ τοῖc ἰδίοιc ἠρκεῖτο πόνοιc **C**), ἀλλὰ καὶ τοὺc τῶν γειτόνων καρποὺc ὑφῃρεῖτο (ἀλλὰ καὶ τοῖc ἀλλοτρίων ἐφορμῶν [ἀλλοτρίοιc ἐποφθαλμιῶν Aug.] διετέλει, τοὺc τῶν γειτόνων καρποὺc ὑφαιρούμενοc **F** Aug). ὁ δὲ Ζεὺc ἀγανακτήcαc ἐπὶ τῇ τούτου πλεονεξίᾳ (κατὰ τῆc πλεονεξίαc αὐτοῦ **F** Aug.) μετεμόρφωcεν αὐτὸν εἰc τοῦτο τὸ ζῷον ὃ μύρμηξ καλεῖται (καλεῖται μύρμηξ **F** Aug.). ὁ δὲ (καὶ add. Aug.) τὴν μορφὴν ἀλλάξαc τὴν διάθεcιν οὐ μετέβαλε (μετεβάλλετο **F**). μέχρι γὰρ (τοῦ add. **C**) νῦν κατὰ (κατὰ om. **C**) τὰc ἀρούραc περιιὼν τοὺc τῶν ἑτέρων πόνουc (τοὺc πόνουc τῶν ἄλλων **F** Aug.) cυλλέγει (cυνάγει Aug.) καὶ ἑαυτῷ ἀποθηcαυρίζει. **FC** Aug. — 1—9 rest. **G** epim. **C**

## 244

Ὄνῳ τις ἐπιθεὶς αἶγα πρόβατον δέλφακα
ἤλαυνε πάντ' εἰς ἄστυ. τοῦ δὲ δέλφακος
μέγιστα παρ' ὅλην τὴν ὁδὸν κεκραγότος
κερδώ ⟨τις⟩ ὡς ἤκουσε, 'διὰ τί' φησί 'cὺ
λοιπῶν φερομένων ἡσύχων μόνος βοᾷς';
ὁ δ' 'ἔγωγε' φησίν 'οὐ μάτην ὀδύρομαι.
προβάτου μὲν ἔριά τ', εὖ γὰρ οἶδα, καὶ γάλα
παρεχομένου μὲν δεσπότης ἀφέξεται.
τυροὺς δὲ δί' ἐρίφους τε τῆς αἴγης ὁμῶς·
ἐμὲ δ' οὐκ ἔχοντα χρηστὸν ἄλλο θυσιάσει'.

Οὕτω καὶ τῶν ἀνθρώπων οὐ μεμπτέοι εἰσίν ὅσοι τὰς μελλούσας προορώμενοι συμφορὰς ἀποκλαίονται.

## 245

Ὀρνιθοθήρας ὀρνέοις ἵστη πάγην.
κόρυδος 'τί ποιεῖς;' τοῦτον, ὡς εἶδ', ἤρετο.
ἀνὴρ δ' '⟨ἔγωγέ⟩' φησί '⟨τινὰ⟩ κτίζω πόλιν'
καὶ μικρὸν ἀνιὼν ⟨ὑπό τι δένδρον⟩ ἐκρύβη.
πεισθεὶς δόλοις προσῆλθε κόρυδος κἐσθίων

---

**244** F 131 = C p. 361 C 176¹⁻² Aug. 174 Ὄνῳ τις ἐπιθεὶς αἶγα καὶ πρόβατον καὶ δέλφακα ἤλαυνεν εἰς ἄστυ. τοῦ δὲ δέλφακος παρ' ὅλην τὴν ὁδὸν κεκραγότος ἀλώπηξ ἀκούσασα ἐπυνθάνετο τὴν αἰτίαν (παρ' αὐτοῦ add. F), δι' ἣν τῶν λοιπῶν ἡσυχαζόντων (μεθ' ἡσυχίας C Aug.) φερομένων μόνος αὐτὸς βοᾷ. ὁ δὲ (ὑποτυχὼν add. Aug.) ἔφη (ὑποτυχὼν δὲ εἶπεν C)· 'ἀλλ' ἔγωγε οὐ μάτην ὀδύρομαι. εὖ γὰρ οἶδα (οἶδα γὰρ C) ὅτι τοῦ μὲν προβάτου ἔριά τε καὶ γάλα (ἄρνας Aug.) παρεχομένου ὁ δεσπότης ἀφέξεται (ἀπέχεται C ἀνθέξεται F), ὁμοίως δὲ καὶ τῆς αἰγὸς διὰ τοὺς τυροὺς καὶ τοὺς ἐρίφους· ἐμοῦ δὲ οὐκ ἔχοντος ἄλλο τι χρηστὸν (ἐμοὶ δὲ οὐκ ἔχων εἰς ἄλλο τι χρήσασθαι C Aug.) πάντως με θύσει (θύσειεν Aug. θύσειν βούλεται F)'. F C[1] Aug. Ἐξ ἀγροῦ τις ἤγρευσε σῦν, αἶγα καὶ πρόβατον· ὄνος δὲ πάντα ἦγεν εἰς ἄστυ. καὶ τὰ μὲν ἄλλα καθῆστο σιγῇ· μόνη δὲ ἡ ὗς μεγέθει βοῆς παρηνώχλει τὸν ἄγοντα. καὶ οὗτος πρὸς αὐτήν 'τί δῆτα' ἔφη 'κομιδὴν ἥσυχον ἅμα τοῖς ἄλλοις οὐ ποιῇ;' ,ὅτι γάλακτος μὲν ἕνεκεν αἴξ, ἐρίων δὲ χάριν ἄγεται πρόβατον, ἐγὼ δὲ σφαγῆς' προσεῖπεν ἡ σῦς. C[2] — 1—10 rest. G epim. Aug.

**245** F 146 = C p. 304 C 46 Aug. 189 Eberhard 154 Ὀρνιθοθήρας πνηνοῖς πάγην ἵστα· κόρυδος δὲ αὐτὸν θεασάμενος ἠρώτα τί ποιεῖ. τοῦ δὲ εἰπόντος πόλιν κτίζειν καὶ μικρὸν ὑποχωρήσαντος πεισθεὶς τοῖς δόλοις προσῆλθεν· ἐσθίων δὲ τὸ δέλεαρ ἔλαθεν ἐμπεσὼν εἰς τοὺς βρόχους. τοῦ δὲ ὀρνιθοθήρου προσδραμόντος καὶ συλλαβόντος αὐτὸν ὁ κόρυδος ἔφη· 'ἐὰν τοιαύτας πόλεις κτίζῃς, οὐ πολλοὺς τοὺς ἐνοικοῦντας εὑρήσεις'. Aug. Ὀρνιθοθήρας πτηνοῖς παγίδας ἵστα. κορυδαλὸς δὲ τοῦτον θεασάμενος ἠρώτα μακρόθεν ἑστώς· 'τί ἐργάζῃ;' τοῦ δὲ εἰπόντος 'πόλιν κτίζω' καὶ μικρὸν ὑποχωρήσαντος καὶ κρυβέντος ὁ κορυδαλὸς πεισθεὶς τοῖς λόγοις τοῦ ἀνδρὸς προσῆλθε τῷ τόπῳ καὶ τὸ δέλεαρ ἐσθίων ἔλαθεν ἐμπεσεῖν εἰς τοὺς βρόχους. ὁ δὲ ὀρνιθοθήρας δραμὼν ἀνελάβετο αὐτόν· καὶ ὁ κορυδαλός 'ὦ οὗτος' ἔφη, ἐὰν τοιαύτας πόλεις

τὸ δέλεαρ ἔλαθεν ἐμπεςὼν εἰς τοὺς βρόχους.
ἔδραμεν δ' ἐκεῖνος τοῦτον ἁρπάζειν· ὁ δέ
'κτίζῃς ἐὰν ⟨cύ⟩' φηςί 'τοιαύτας πόλεις,
οὐ τῶν πολιτῶν πλῆθος εὑρήςεις ⟨ποτέ⟩.

Ὁ λόγος δηλοῖ ὅτι τότε μάλιστα καὶ οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεςτῶτες χαλεπὰ ποιῶςι.

## 246

Κάμηλος ὅτε ⟨τὸ⟩ πρῶτον ὤφθη τοῖς βροτοῖς,
⟨ταύτης⟩ ἔφευγον ἐκπλαγέντες τὸ μέγεθος.
ὡς δ' εἶδον αὐτῆς πρᾳότητα, τῷ χρόνῳ
⟨ἐγγὺς⟩ προςῆλθον θαρραλέως· ᾔςθοντο δὲ
κατὰ μικρὸν ὡς τὸ ζῷον οὐκ ἔχει χολὴν
χοὕτως κατεφρόνηςαν αὐτῆς ὥςτε καὶ
παιςὶν χαλινωθεῖςαν ἄξειν ἐδίδοςαν.

Ὁ λόγος δηλοῖ ὅτι τὰ φοβερὰ τῶν πραγμάτων ἡ ςυνήθεια μεγάλως καταπρᾳύνει.

## 247

Ἀνελόμενος ἐκ τοῦ γραμματείου δελτίον
τοῦ ςυμμαθητοῦ μητρὶ παῖς ⟨τις⟩ ἐκόμιςεν.
ἡ δ' αὐτὸν οὐκ ἔπληξεν οὐδέν, ἀλλὰ καὶ
κλέψανθ' ἱμάτιον αὐτὸν ἐκ ⟨τοῦ⟩ δευτέρου
ἐπαινέςαςα μᾶλλον ἔτ' ἀπεδέξατο.

---

κτίζῃς, πολλοὺς ἐνοικοῦντας εὑρήςεις'. **F** Ὀρνιθοθήρας ὄρνιςιν ἵςτη παγίδας. κορυδαλὸς δὲ τοῦτον πόρρωθεν ἰδὼν ἐπυνθάνετο, τί ποτ' ἐργάζοιτο. τοῦ δὲ πόλιν κτίζειν φαμένου, εἶτα δὲ πορρωτέρω ἀποχωρήςαντος καὶ κρυβέντος ὁ κορυδαλὸς τοῖς τοῦ ἀνδρὸς λόγοις πιςτεύςας προςελθὼν εἰς τὸν βρόχον ἑάλω. τοῦ δὲ ὀρνιθοθήρου ἐπιδραμόντος ἐκεῖνος εἶπεν· 'ὦ οὗτος, εἰ τοιαύτην πόλιν κτίζεις, οὐ πολλοὺς εὑρήςεις τοὺς ἐνοικοῦντας'. **C** — 1–9 rest. **G** Eberhardus **C** potissimum secutus fabulae choliambicae haec fragmenta enucleari posse arbitratur: 'Ὀρνιθοθήρας παγίδας ὀρνέοις ἵςτη.... πόλιν κτίζω'. Κορυδαλλὸς ἀνδρὸς τοῖς λόγοιςι πιςτεύςας Προςῆλθε καὶ βρόχοιςιν ἐμπεςὼν ἥλω... 'Οὗτος' προςεῖπεν 'εἰ πόλιν ςὺ τοιαύτην Κτίζεις..... εὑρήςεις'. epim. **FC** Aug. μῦθος **C** καὶ prius om. **C** χαλεπὰ ποιῶςι Aug.] χαλεποὶ ὦςιν **F** χαλεπαίνωςιν **C**

**246** **F** 148 = **C** p. 324 **C** 118 Aug. 191 Ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ βροτοὶ φοβηθέντες καὶ τὸ μέγεθος καταπλαγέντες ἔφευγον (ἔφυγον **F**). ὡς δὲ χρόνου προιόντος ςυνεῖδον (ςυνιδόντες **F**) αὐτῆς τὸ πρᾷον, ἐθάρρηςαν μεχρὶ τοῦ προςελθεῖν. αἰςθόμενοι δὲ κατὰ μικρὸν ὡς χολὴν τὸ ζῷον (τὸ ζῷον ὡς χολὴν **C** Aug.) οὐκ ἔχει, εἰς τοςοῦτον καταφρονήςεως (φρονήςεως **F**) ἦλθον ὥςτε καὶ χαλινοὺς αὐτῇ περιθέντες παιςὶν ἐλαύνειν δεδώκαςιν (ἔδωκαν **F**). **FC** Aug. — 1—7 rest. **G** epim. **F** Aug.

**247** **F** 159 = **C** p. 305 **C** 48 Aug. 196. Παῖς ἐκ διδαςκαλείου (em. Halmius ex **FC**; διδαςκάλου Aug.) τὴν τοῦ ςυμφοιτητοῦ δέλτον ἀνελόμενος τῇ μητρὶ ἐκόμιςε· τῆς δὲ οὐ μόνον αὐτὸν οὐκ ἐπιπληξάςης, ἀλλὰ καὶ

προιὼν δὲ τοῖς χρόνοισιν ἐπὶ τὰ μείζονα
ληφθείς τ' ἀπήγεθ' ὁ νέος ἐπὶ τὸν δήμιον.
τούτῳ δὲ μητρὸς ἐπακολουθούσης ⟨τε⟩ καὶ
στερνοκτυπούσης εἶπεν ὅ ⟨γε⟩ νεηνίης·
'εἰπεῖν θέλω τι μητρί μου πρὸς τὠτίον'.
τῆς δ', ὡς προσῆλθε, τοὖς δακὼν ἀφείλετο.
κατηγορούσης αὐτὸν οὖν ὡς δυσσεβῆ
τῆς μητρός 'ἀλλ' ὅτ'' εἶπε 'σοὶ τὸ δελτίον
ἤνεγκα κλέψας εἴ μ' ἔπληξας, οὔποτ' ἂν
εἰς τόσσον ἦλθον κἀπὶ θάνατον ἠγόμην'.

Ὁ λόγος δηλοῖ ὅτι τὸ κατ' ἀρχὰς μὴ κωλυόμενον ἐπὶ μεῖζον αὔξει.

## 248

Ἐν παραθαλασσίοισί τις ποίμνην νέμων,
γαληνιῶσαν τὴν θάλασσαν ⟨εἰσ⟩ορῶν,
ὡς ἐμπολήσων ναυστολεῖν ἱμείρατο.
ἀπεμπολήσας οὖν τὰ πρόβατα ⟨πάντα⟩ καὶ
φοινικοβαλάνους ἀγοράσας ἀνήγαγεν.
ὑπὸ ζάλης δὲ περιτραπείσης τῆς νεὼς

---

ἐπαινεσάσης αὐτὸν ἐκ δευτέρου ἱμάτιον κλέψας ἤνεγκεν αὐτῇ καὶ ἔτι μᾶλλον ἐκείνη ἀπεδέξατο. προιὼν δὲ τοῖς χρόνοις ὁ νεανίας ἐπὶ τὰ μείζονα ἐχώρει· ληφθεὶς δέ ποτε καὶ περιαγκωνισθεὶς ἐπὶ τὸν δήμιον ἀπήγετο. τῆς δὲ μητρὸς ἐπακολουθούσης αὐτῷ καὶ στερνοκοπουμένης (em. Halmius; στερνοπονουμένης Aug.) ὁ νεανίας εἶπεν· 'θέλω τι εἰπεῖν τῇ μητρί μου εἰς τὸ οὖς'. τῆς δὲ προσελθούσης ταχέως ἐπελάβετο τοῦ ὠτὸς αὐτῆς καὶ ἐξέκοψε. τῆς δὲ κατηγορούσης αὐτὸν ὡς δυσσεβῆ ἐκεῖνος ἔφη· 'ἀλλὰ τότε ὅτε σοὶ πρῶτον μὲν δέλτον κλέψας ἤνεγκα εἰ ἔπληξάς με, οὐκ ἂν μέχρι τούτου ἐχώρησα καὶ ἐπὶ θάνατον ἠγόμην'. Aug. — 1—15 rest. **G** 1 ἐκ τοῦ διδασκαλείου **F** 9 στερνοκτυπούσης **F** 11 τῆς δὲ ταχέως τὸ οὖς τῷ στόματι τοῦ παιδὸς προσθείσης ἐκεῖνος τὸ οὖς τοῖς ὀδοῦσι δακὼν ἀφείλετο **C** epim. Aug.

**248** **F** 164 = **C** p. 306 **C** 49 Aug. 203 Ποιμὴν ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων, ἑωρακὼς γαληνιῶσαν τὴν θάλατταν ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορίαν. ἀπεμπολήσας (em. Halmius; ἀπεμπωλήσας **C**) οὖν τὰ πρόβατα καὶ φοινίκων βαλάνους πριάμενος ἀνήχθη. χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς κινδυνευούσης βαπτίζεσθαι πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλατταν μόλις κενῇ τῇ νηὶ διεσώθη. μετὰ δ' ἡμέρας οὐκ ὀλίγας παριόντος τινὸς καὶ τῆς θαλάττης (ἔτυχε γὰρ αὕτη γαληνιῶσα) τὴν ἠρεμίαν θαυμάζοντος ὑπολαβὼν οὗτος εἶπε· 'φοινίκων αὖθις, ὡς ἔοικεν, ἐπιθυμεῖ καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα.' **C** Ποιμὴν ἔν τινι (τόπῳ add. **F**) παραθαλασσίῳ (ποίμνια add. **F**) νέμων ὡς ἐθεάσατο τὴν θάλασσαν γαληνήν τε καὶ πρᾳεῖαν, ἐπεθύμησε πλεῦσαι (πλεῖν Aug.). διόπερ πωλήσας αὐτοῦ τὰ πρόβατα καὶ φοίνικας ἀγοράσας ναῦν ἐμφορτωσάμενος (ἐμφορτισάμενος Aug.) ἀνήχθη. χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς περιτραπείσης πάντα ἀπολέσας αὐτὸς (αὐτὸς om. Aug.) μόλις ἐπὶ τῆς γῆς (τὴν γῆν Aug.) διεσώθη (διενήξατο Aug.). πάλιν δὲ γαλήνης γενομένης (μετ' οὐ πολλὰς οὖν ἡμέρας τῆς θαλάσσης γαληνιώσης **F**) ὡς ἐθεάσατό τινα παριόντα καὶ (τινα ἐπὶ τῆς γῆς Aug.) ἐπαινοῦντα τὴν τῆς

ὅλον εἰς θάλασσαν ἐκβαλὼν τὸ φορτίον
αὐτὸς κενῇ τῇ νηὶ διεσώθη μόλις.
ὡς δ' αὖ γαλήνης γενομένης ὁδοιπορῶν
ἐθαύμασέν τις πόντον ἠρεμοῦντ' ἔφη·
'φοινικοβαλάνων αὖθις ἐπιθυμεῖν δοκεῖ'.
[φρονίμοις παθήματ' ἐστὶ καὶ μαθήματα.]

## 249

Εὐκαρπίην ἤριζε ῥοίῃ μηλέη.
πολλοῦ δὲ νείκους ⟨οὖν⟩ μεταξὺ γενομένου
ἐκ τοῦ πάρεγγυς εἶπε φραγμοῦ ⟨τις⟩ βάτος·
'ἀλλ' ὦ φίλαι ⟨γε⟩, μαχόμεναι παυσώμεθα'.

Οὕτω παρὰ τὰς τῶν ἀμεινόνων στάσεις καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνταί τινες εἶναι.

## 250

Ὗς καὶ κύων ἤριζον εὐτοκεῖν. 'ἐγὼ
ταχέως' κύων μὲν εἶπεν 'ἀποκυῶ μόνη
τῶν τετραπόδων'· ὗς δ' ὑποτυχοῦσα ⟨ταῦτ'⟩ ἔφη·
'ὅτι τυφλὰ τίκτεις ἴσθι, τοῦθ' ὅταν λέγῃς'.

Ὁ λόγος δηλοῖ ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνεται.

## 251

Φιλάργυρός τις ἀργυρώσας οὐσίην
ἀγορασάμενός τε βῶλον αὐτῇ χρυσίου

---

θαλάσσης (τῆς θαλάσσης τὴν F) ἠρεμίαν, ἔφη· ('ἀλλ', add. Aug.) 'ὦ οὗτος, αὕτη γάρ σοι φοινίκων ἐπιθυμεῖ'. F Aug. — 1—[12] rest. G [12] οὕτω πολλάκις (ὁ μῦθος δηλοῖ ὅτι C) τὰ παθήματα τοῖς φρονίμοις (ἀνθρώποις C) γίνεται (γίνινται Aug.) μαθήματα (μαθήματα γίνεται C). epim. FC Aug.

**249** F 176 = C p. 307 C 50 Aug. 209. Ῥοιὰ καὶ μηλέα περὶ εὐκαρπίας (κάλλους FC) ἤριζον. πολλοῦ δὲ τοῦ νείκους ἀναφθέντος (πολλῆς δὲ φιλονεικίας παρὰ τῶν ἀμφοτέρων γεγονυίας F πολλῶν δὲ ἀμφισβητήσεων μεταξὺ γενομένων, βάτος ἐκ τοῦ πλησίον φραγμοῦ ἀκούσασα εἶπεν· 'ἀλλ' (ἀλλ' om. F) ὦ φίλαι, παυσώμεθά (ἀκούσασα φραγμοῦ 'παυσώμεθα' εἶπεν, 'ὦ φίλαι, C) ποτε μαχόμεναι'. FC Aug. — 1—4 rest. G epim. Aug. παρὰ Halmius ex F] περὶ Aug.

**250** F 186 = C p. 315 C 69 Aug. 221 Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. τῆς δὲ κυνὸς εἰπούσης ὅτι μόνη τῶν (ὅτι πάντων F) τετραπόδων ταχέως ἀποκύει, (κύει, Aug. ἔφη δ' ἡ κύων εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν ζῴων. καὶ C) ἡ ὗς ὑποτυχοῦσα ἔφη (πρὸς ταῦτά φησιν)· 'ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι (γίνωσκε F Aug.) ὅτι τυφλὰ τίκτεις (γεννᾷς F ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις C)'. FC Aug. — 1—4 rest. G epim. FC Aug. μῦθος C ἀλλὰ Aug. κρίνεται FC] γίνονται Aug.

**251** F 188 = C p. 311 C 59 Aug. 223 Φιλάργυρός τις ἅπασαν αὐτοῦ τὴν οὐσίαν ἐξαργυρισάμενος καὶ χρυσοῦν βῶλον ποιήσας ἔν τινι τόπῳ

ἔν τινι πρὸ τείχους ⟨ἐγ⟩κατώρυξεν τόπῳ
τὸν νοῦν ἑαυτοῦ συγκατεγκλείcαc ἐκεῖ·
καθ' ἡμέρην δ' ἐρχόμενοc αὐτὸν ἔβλεπεν.
τῶν δ' ἐργατῶν τιc cυννοήcαc τὸ γεγονὸc
ἀπαλλαγέντοc χρυcὸν ⟨ἐξ⟩αφείλετο.
ὁ δ' ὡc ἐπανιὼν εὗρε τὸν τόπον κενόν,
ἔκλαιε καὶ τὰc τρίχαc ἔτιλλε· τὸν δέ τιc
ἰδὼν ὑπερπαθοῦντα καἰτίην μαθὼν
ἔφη πρὸc αὐτόν· 'μὴ ⟨cὺ⟩ λυπηθῇc ἄγαν·
λίθον λαβὼν θὲc καὶ νόμιζε χρυcίον·
οὐδὲ γὰρ ἔχων τὸν χρυcὸν εἶχεc χρῆμά τι'.
[ἡ κρῆcιc οὐδέν ἐcτ' ἄνευ τῆc χρήcεωc.]

## 252

Χῆν' ἔτρεφέν ⟨τιc⟩ εὐπορῶν ἀνήρ θ' ἅμα
καὶ κύκνον, ἀλλ' οὖν γ' οὐχὶ τοῖc αὐτοῖc ἔπι·
τὸν μὲν γὰρ ᾠδῆc, τὸν δὲ τοῦ δείπνου χάριν.
ἐπεὶ δ' ἐφ' οἷc ἐτρέφετο χῆν' ἔδει παθεῖν,
ὁ καιρὸc οὐκ ἀφῆκεν ἑκάτερον λέγειν.

---

κατώρυξε cυγκατωρύξαc ἐκεῖ καὶ τὴν ψυχὴν ἑαυτοῦ καὶ τὸν νοῦν καὶ καθ' ἡμέραν ἐρχόμενοc αὐτὸν ἔβλεπε. τῶν δ' ἐργατῶν τιc αὐτὸν παρατηρήcαc καὶ τὸ γεγονὸc cυννοήcαc ἀνορύξαc τὸν βῶλον ἀνείλετο. μετὰ δὲ ταῦτα κἀκεῖνοc ἐλθὼν καὶ κενὸν τὸν τόπον ἰδὼν θρηνεῖν ἤρξατο καὶ τίλλειν τὰc τρίχαc. τοῦτον δέ τιc ὀλοφυρόμενον οὕτωc ἰδὼν καὶ τὴν αἰτίαν πυθόμενοc 'μὴ οὕτωc' εἶπεν, 'ὦ οὗτοc, ἀθύμει. οὐδὲ γὰρ ἔχων τὸν χρυcὸν εἶχεc· λίθον οὖν ἀντὶ χρυcοῦ λαβὼν θὲc καὶ νόμιζέ cοι τὸν χρυcὸν εἶναι· τὴν αὐτὴν γάρ cοι πληρώcει χρείαν· ὡc ὁρῶ γὰρ οὐδ' ὅτε ὁ χρυcὸc ἦν, ἐν χρήcει ἦcθα τοῦ κτήματοc'. **C** Φιλάργυρόc τιc τὴν οὐcίαν ἐξαργυρωcάμενοc (ἐξαργυριζόμενοc **F**) βῶλον χρυcοῦν ὠνήcατο καὶ τοῦτον πρὸ τοῦ τείχουc (τοίχου **F**) κατορύξαc διετέλει cυνεχῶc ἐρχόμενοc καὶ ἐπιcκεπτόμενοc. τοῦτον δὲ περὶ τὸν τόπον τιc τῶν ἐργατῶν πολλάκιc βλέπων παρατηρηcάμενόc τε αὐτοῦ τὰc ἀφίξειc καὶ καταλαβὼν αὐτοῦ τὸν χρυcὸν ἀφείλατο (τῶν δὲ περὶ τόπον ἐργατῶν τιc παρατηρηcάμενοc αὐτοῦ τὰc ἀφίξειc ὑπενόηcε τὸ ἀληθέc. ἀπαλλαγέντοc οὖν αὐτοῦ τὸ χρυcίον ἀνείλετο **F**). ὁ δὲ ὡc ἐπανελθὼν εὗρε τὸν τόπον κενόν, ἔκλαιε (ὁ δὲ ἐπανελθὼν καὶ κενὸν εὑρὼν τὸν τόπον ἔκλαιέ τε Aug.) καὶ τὰc τρίχαc ἔτιλλεν. ἰδὼν δέ τιc αὐτὸν ὑπερπαθοῦντα (em. **C** ὑπερπαθόντα **F**) καὶ τὴν αἰτίαν μαθὼν (αὐτὸν καὶ καταμαθὼν τὴν αἰτίαν Aug.) ἔφη πρὸc αὐτόν· 'μὴ λυποῦ (ἑταῖρε add. Aug.), ἀλλὰ λαβὼν λίθον τῷ αὐτῷ τόπῳ κατάθεc (κατάθεc ἐν τῷ αὐτῷ τόπῳ Aug.) καὶ νόμιζε τὸ χρυcίον κεῖcθαι· οὐδὲ (οὐδὲν Aug.) γάρ, ὅτε ἦν, ἐχρῶ αὐτῷ'. **F** Aug. — 1—13 rest. **G** [14] rest. **G**] Ὁ λόγοc δηλοῖ ὅτι ἡ κτῆcιc οὐδέν ἐcτιν, ἐὰν μὴ ἡ χρῆcιc παρῇ. epim. Aug.

**252** **F** 200 **C** $74^{1-2}$ Ἀνὴρ εὐπορῶν χῆνά τε ἅμα καὶ κύκνον ἔτρεφεν, οὐκ ἐπὶ τοῖc αὐτοῖc μέντοι· τὸν μὲν γὰρ ᾠδῆc, τὸν δὲ τραπέζηc ἕνεκεν. ἐπεὶ δὲ ἔδει τὸν χῆνα παθεῖν ἐφ' οἷc ἐτρέφετο, νὺξ μὲν ἦν καὶ διαγινώcκειν ὁ καιρὸc οὐκ ἀφῆκεν ἑκάτερον. ὁ δὲ κύκνοc ἀντὶ τοῦ χηνὸc ἀπαχθεὶc ᾄδει τι μέλοc θανάτου προοίμιον· καὶ τῇ μὲν ᾠδῇ μηνύει τὴν φύcιν, τὴν δὲ τελευτὴν διαφεύγει τῷ μέλει $C^1$;

ὁ δὲ κύκνος ἀντὶ χηνὸς ὡς ἀπήγετο,
ᾖδει μέλος τι τοῦ θανεῖν προοίμιον
καὶ τῇ μὲν ᾠδῇ μηνύει ⟨γε⟩ τὴν φύσιν,
⟨βίου⟩ τελευτὴν δὲ διαφεύγει τῷ μέλει.
[ἡ μουσικὴ τὴν ἀναβολὴν ἐργάζεται.]

## 253

Λύκοι ⟨ποτ' εἶπον⟩ πρὸς τὰ πρόβαθ'· 'ἡμῖν τί δὴ
ἄσπονδος αἰὲν πόλεμος; αἴτιοι κύνες·
προσιόντας αἰέν, οἱ κάκιστ' ὀλούμενοι,
ὑλῶσιν ἡμᾶς οὐδὲν ἠδικηκότας.
ἀλλ' εἴ ⟨γε⟩ τούτους ἐκ ποδῶν ἐκστήσετε,
ἐνθένδε σπονδαὶ καὶ διαλλαγαί ⟨ποτε⟩.
ἀπάτῃ δὲ πρόβατα ῥᾳδίως ὑπήγετο
ὑπὸ ⟨τῆς⟩ τ' ἀνοίης ⟨ἐξ⟩ελήλανθ' οἱ κύνες·
φυλακῆς δ' ἔρημα ⟨τοῖς λύκοις⟩ ἐφθείρετο.
Ἐχθροῖς πειθαρχῶν ὑποστήσῃ τὸν κίνδυνον.

## 254

Συκῆς ἐλαίη κατεγέλα λέγουσά ⟨τις⟩·
'ἀνθοῦσα μὲν πρὸς πᾶσαν ὥρην εἴμ' ἐγώ,
ἄνθος δὲ μεταβάλλεις σὺ ταῖς ὥραις ἅμα'.
αἷς καὶ καταρρυεῖσα τὴν μὲν ⟨ἡ⟩ χιὼν
θαλλοῖς ἐνιζάνουσα συγκατέκλασεν·
τὴν δ' ὡς ἔρημον εὗρε ⟨τῶν⟩ φύλλων ⟨πάνυ⟩,
πρὸς γῆν ὑπορρέουσά ⟨γ'⟩ οὐδὲν ἠδίκει.
[ὄνειδός ἐστιν κάλλος ἄφρον δεσπόταις.]

---

Ἀνὴρ εὐπορῶν χῆνά τε ἅμα καὶ κύκνον ἄμφω τρέφειν ἐβούλετο. ἔτρεφε δὲ οὐκ ἐφ' ὁμοίοις βουλεύμασι. τὸν μὲν γὰρ ᾠδῆς, τὸν δὲ τραπέζης ἐκέκτητο χάριν. ὡς δὲ ἔδει τὸν χῆνα ἀποθανεῖν ἐφ' οἷς ἐτρέφετο, νὺξ μὲν ἦν καὶ διαγινώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον. ὁ κύκνος δὲ ἀντὶ τοῦ χηνὸς ἀπαχθεὶς ᾠδῇ σημαίνει τὴν φύσιν καὶ τὴν τελευτὴν διαφεύγει τῷ μέλει. **F** 200 = **C**² — 1—9 rest. **G** [10] rest. **G**] Οὕτως ἡ μουσικὴ τὴν (μουσικὴ τελευτῆς **C**²) ἀναβολὴν ἀπεργάζεται. **FC**²

**253 F** 211 **C** 237¹⁻⁴ Aug. 151 Οἱ λύκοι πρὸς τὰ πρόβατα· 'τί δὴ ἡμῖν ἄσπονδος ἀεὶ καὶ ἀκήρυκτος πόλεμος; αἴτιοι δὲ οἱ κάκιστα ἀπολούμενοι κύνες, οἳ προσιόντας μὲν ἡμᾶς ὑλακτοῦσιν, οὐδὲν δὲ ἠδικηκότας συγκρούουσιν. ἀλλ' εἰ τούτους ἐκ ποδῶν στήσετε (em. **C** καταστήσετε cod.), σπονδαὶ ἐνθένδε καὶ διαλλαγαὶ καταστήσονται'. εἶπον εἰς ἀπάτην· τὰ δὲ ῥᾳδίως ὑπήγετο. καὶ οἱ μὲν κύνες ἐλήλαντο· αὐτὰ δὲ ἔρημα φυλακῆς διεφθείρετο. **C**² — 1—9 rest. **G** 8 ὑπὸ ⟨τῆς⟩ τ' ἀνοίης add. **G**] ὑπ' ἀνοίας **C**¹⁻⁴ epim. **C**² omisso τὸν erit versus politicus

**254 F** 212 **C** 299¹⁻² Ἐλαία κατεγέλα συκῆς, ὡς αὐτὴ μὲν ἀνθοῦσα πρὸς ἅπασαν ὥραν, συκῆς δὲ τὸ ἄνθος συμμεταβαλλούσης ταῖς ὥραις. αἷς καὶ (καὶ om. **F**) καταρρυεῖσα χιὼν τὴν μὲν ἐλαίαν κομῶσαν εὑροῦσα τοῖς θαλλοῖς (em. Haimius; θαλοῖς **FC**) ἐνιζάνουσα σὺν τῷ κάλλει καθάπαξ ταύτην διέφθειρε· τὴν δὲ φύλλων εὑροῦσα γυμνὴν οὐδὲν ἠδίκει πρὸς γῆν ὑπορρέουσα. — Κάλλος μὴ σωφρονοῦν τοῖς κεκτημένοις καθέστηκεν ὄνειδος. **FC**¹ — 1—[8] rest. **G**

## 255

Ἐμάχοντο cυμπλακέντες αἰετὸc δράκων·
ὁ δράκων μὲν εἶχε cυλλαβὼν τὸν αἰετόν.
ἰδὼν δ᾿ ἀγροῖκοc τοῦ δράκοντοc τὴν πλοκὴν
ἐλεύθερόν ⟨γ᾿⟩ ἀφῆκε λύcαc αἰετόν.
⟨μέγιcτα⟩ χαλεπήναc δὲ διὰ ταῦθ᾿ ὁ δράκων
τῷ πόματι τοῦ cώcαντοc ἰὸν ἐντιθεῖ.
πρὸc ἄγνοιαν οὖν μέλλοντοc ἀγροικοῦ πιεῖν
⟨ὕψουc⟩ καταπτὰc αἰετὸc ποτήριον
χειρῶν γεωργοῦ cυλλαβὼν ἐξείλετο.
[χάριτεc μένουcιν, ⟨ἴcθι,⟩ τοὺc εὐεργέταc.]

## 256

Ἁλιεύc ⟨τιc⟩ ἡλίευεν ἐν ῥείθρῳ τινί.
τοῖc δικτύοιc οὖν ἑκατέρωθεν περιλαβὼν
τὸ ῥεῦμα τῷ κάλῳ τε προcδήcαc λίθον
ἔτυπτεν ὕδωρ, ὡc φυγόντεc ἰχθύεc
ἀπαραφυλάκτωc ἐμπέcωcι τοῖc βρόχοιc.
ἰδὼν δέ τιc ποιοῦντα τοῦτ᾿ ἐμέμφετο·
ʻπίνειν ὕδωρ διαυγὲc ἡμᾶc οὐκ ἐᾷc᾿.
ὁ δ᾿ ʻἀλλ᾿ ἐὰν μή᾿ φηcί ʻποταμὸν ἀναθολῶ,
λιμῷ δεήcει μ᾿ ἀποθανεῖν ⟨παραυτίκα⟩᾿.

Οὕτω καὶ τῶν πόλεων οἱ δημαγωγοὶ τότε μάλιcτα ἐργάζονται ὅταν τὰc πατρίδαc εἰc cτάcειc περιαγάγωcιν.

---

**255** **F** 215 = **C** 303[1] Δράκων καὶ ἀετὸc cυμπλακέντεc ἀλλήλοιc ἐμάχοντο· καὶ ὁ μὲν δράκων εἶχε τὸν ἀετὸν cυλλαβών. γεωργὸc δὲ ἰδὼν λύcαc τὴν πλοκὴν τοῦ δράκοντοc αὐτόνομον ἀφῆκε τὸν ἀετόν. χαλεπήναc δὲ ἐπὶ τούτοιc ὁ δράκων ἰὸν ἀφῆκε τῷ τοῦ cώcαντοc πόματι· πιεῖν δὲ τοῦ γεωργοῦ πρὸc ἄγνοιαν μέλλοντοc ὁ ἀετὸc καταπτὰc τῶν τοῦ γεωργοῦ χειρῶν ἐξαιρεῖται τὴν κύλικα. — Τοὺc εὖ ποιοῦνταc μένουcι χάριτεc. **FC** — 1—[10] rest. **G**

**256** **F** 241 = **C** 87 Aug. 26 Ἁλιεὺc ἔν τινι ποταμῷ ἡλίευε. καὶ δὴ κατατείναc (διατείναc δὲ **FC**) τὰ δίκτυα ὡc περιέλαβεν ἑκατέρωθεν τὸ ῥεῦμα προcδήcαc κάλῳ λίθον ἔτυπτε τὸ ὕδωρ (καὶ τὸ ῥεῦμα περιλαβὼν ἑκατέρωθεν καλωδίῳ προcδήcαc λίθον τὸ ὕδωρ ἔτυπτεν **FC**), ὅπωc οἱ ἰχθύεc φεύγοντεc ἀπαραφυλάκτωc τοῖc βρόχοιc ἐμπέcωcι. τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τιc θεαcάμενοc (αὐτὸν add. Aug.) τοῦτο ποιοῦντα ἐμέμφετο ὡc τὸν ποταμὸν θολοῦντα καὶ μὴ ἐῶντα αὐτοὺc διαυγὲc ὕδωρ πίνειν (καὶ διειδὲc ὕδωρ μὴ cυγχωροῦντα πίνειν **FC**). ὁ δὲ (καὶ ὃc **FC**) ἀπεκρίνατο· ʻἀλλ᾿ ἐὰν (εἰ **FC**) μὴ οὕτωc (οὗτοc **FC**) ὁ ποταμὸc ταράccηται (ταράττεται **FC**). ἐμὲ δεήcει λιμώττοντα ἀποθανεῖν᾿. **FC** Aug. — 1—9 rest. **G** epim. **FC** Aug. cτάcιν **F**

## 257

Ἔθος ἐcτι τοῖc πλέουcιν ἐπάγεcθαι κύναc
παραμυθίην πλοῦ καὶ πιθήκουc· τοιγαροῦν
πλέων cὺν αὐτῷ καὶ πίθηκον εἶχέ τιc.
τὸ δὲ πλοῖον ὡc ἐγένετο κατὰ τὸ Σούνιον
(τῆc Ἀττικῆc τοῦτ' ἐcτὶν ἀκρωτήριον)
χειμῶνα cυνέβη cφοδρὸν ὄρνυcθαι ⟨μάλα⟩.
περιτραπείcηc οὖν νεὼc ἄλλοιc ἅμα
ἅπαcι χῷ πίθηκοc ἐξενήχετο.
ἰδὼν δὲ δελφὶc τοῦτον, ἄνδρ' εἶναι δοκῶν
ἀνεῖχ' ὑπελθὼν διακομίζων ἐξ ἁλόc.
* * * * * * * * * * * *
ὁ δέ· 'μάλα φίλοc ⟨τε⟩ καὶ cυνήθηc ἐcτί μοι'.
* * * * * * * * * * * *

Ὁ λόγοc εὔκαιροc πρὸc ἄνδραc οἳ τοὺc εὐεργέταc αὐτῶν διαψεύδεcθαι βούλονται.

## 258

Κατὰ θῖν' ὁδοιποροῦντεc ἦλθον εἰc ἄκρην.
κἀκεῖθεν ὡc πόρρωθεν εἶδον φρύγανα
ἐπιπλέοντα ναῦν ἐνόμιcαν πλεῖν τινα.
διὸ δὴ προcέμενον ὡc προcορμιουμένην.
ἄνεμοc δ' ἐπεὶ προcῆκεν ἆccον φρύγανα,

---

**257** **F** 242 = **C** 88 Aug. 74 Ἔθοc ἐcτὶ τοῖc πλέουcιν ἐπάγεcθαι κύναc τε Μελιταίουc καὶ πιθήκουc πρὸc παραμυθίαν τοῦ πλοῦ. καὶ δή τιc πλεῖν μέλλων πίθηκον cυνανήνεγκε. γενομένων δ' αὐτῶν κατὰ τὸ Σούνιον (ἐcτὶ δὲ τοῦτο Ἀθηναίων ἀκρωτήριον) cυνέβη χειμῶνα cφοδρὸν γενέcθαι. περιτραπείcηc δὲ τῆc νηὸc καὶ πάντων διακολυμβώντων καὶ ὁ πίθηκοc ἐνήχετο. δελφὶν δὲ θεαcάμενοc αὐτὸν οἰόμενοc ἄνθρωπον εἶναι ** (lacunam ex **FC** explevit I. G. Schneiderus) ἔφαcκε καὶ φίλον αὐτὸν καὶ cυνήθη γενέcθαι. καὶ ὁ δελφὶν ἀγανακτήcαc κατὰ τῆc αὐτοῦ ψευδολογίαc βαπτίζων ἀπέκτεινεν. Aug. Ἔθουc ὄντοc τοῖc πλέουcι Μελιταῖα κυνίδια καὶ πιθήκουc ἐπάγεcθαι πρὸc παραμυθίαν τοῦ πλοῦ πλέων τιc εἶχε cὺν ἑαυτῷ καὶ πίθηκον· γενομένων δ' αὐτῶν κατὰ τὸ Σούνιον τὸ τῆc Ἀττικῆc ἀκρωτήριον χειμῶνα cφοδρὸν cυνέβη γενέcθαι. τῆc δὲ νεὼc περιτραπείcηc καὶ πάντων διακολυμβώντων ἐνήχετο καὶ ὁ πίθηκοc. δελφὶc δέ τιc αὐτὸν θεαcάμενοc καὶ ἄνθρωπον εἶναι ὑπολαβὼν ἀπελθὼν ἀνεῖχε διακομίζων ἐπὶ τὴν χέρcον. ὡc δὲ κατὰ τὸν Πειραιᾶ ἐγένετο τὸ τῶν Ἀθηναίων ἐπίνειον, ἐπυνθάνετο τοῦ πιθήκου, εἰ τὸ γένοc ἐcτὶν Ἀθηναῖοc. τοῦ δὲ εἰπόντοc καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων ἐπήρετο εἰ καὶ τὸν Πειραιᾶ ἐπίcταται. ὑπολαβὼν δὲ πίθηκοc περὶ ἀνθρώπου αὐτὸν λέγειν ἔφη καὶ μάλα φίλον εἶναι αὐτῷ καὶ cυνήθη. καὶ ὁ δελφὶc ἐπὶ τοcούτῳ ψεύδει ἀγανακτήcαc βαπτίζων αὐτὸν ἀπέκτεινεν. **FC** — 1 – 11 rest. **G** epim. Aug.

**258** **F** 258 = **C** 110 Aug. 172 Ὁδοιπόροι κατά τινα αἰγιαλὸν ὁδεύοντεc ἦλθον ἐπί τινα cκοπιάν. κἀκεῖθεν θεαcάμενοι φρύγανα πόρρωθεν ἐπιπλέοντα ναῦν εἶναι μεγάλην ᾠήθηcαν. διὸ δὴ προcέμενον ὡc μελλούcηc αὐτῆc προcορμίζεcθαι. ἐπεὶ δὲ ὑπὸ ἀνέμων φερόμενα τὰ φρύγανα

ναῦν οὐκέτ', ἀλλὰ πλοῖον ἡγοῦντο βλέπειν.
τὰ δ' ἐξενεχθέντ' ὄντ' ἰδόντες φρύγανα
'προcεδεχόμεθ'' εἶπον 'ἄρα μάτην τὸ μηδὲν ὄν.'
[ἐξ ἀπροόπτου δειματώδεις οὐδενός,
εἰς πεῖραν ὅταν ἔλθωσιν, εἰσὶν ἄξιοι.]

## 259

Συκῆς κολοιὸς ἧστο λιμώττων ἔπι.
εὑρὼν δ' ὀλύνθους μηδέπω πεπεμμένους
ἕως γένωνται cῦκ' ἔμελλε προcμένειν.
τὸν ὐ' ἐγχρονίζονθ' ὡς ἀλώπηξ ἔβλεπεν,
τὴν αἰτίην μαθοῦσα πρὸς τοῦτον 'cύ γε
⟨δια⟩πεπλάνηcαι' φηcί 'προcέχων ἐλπίδι,
ἣ βουκολεῖν μέν, οὐδαμῶς δ' οἶδεν τρέφειν.'
[εὔκαιρος ὁ λόγος ἀνδρὶ φρεναπατουμένῳ.]

## 260

Κύων λέοντά ⟨τίς ποτ' ἐπ⟩εδίωκ' ἰδών.
ὡς δὲ cτραφεὶς ἐκεῖνος ἐβρυχήcατο,
εἰς τοὐπίσω ⟨κατ⟩έφυγεν ἐκπεπληγμένος·
κερδὼ δ' ἰδοῦσα τοῦτον εἶπεν· 'ὦ κακὴ
κεφαλή, cὺ ⟨τῷ⟩ λέοντι ⟨πῶς⟩ ἐπέτρεχες,
ἀλλ' οὐδὲ τὸν βρυχηθμὸν ὑπέμεινας ⟨φέρειν⟩;'

Ὁ λόγος λεχθείη ἂν ἐπ' ἀνδρῶν αὐθαδείᾳ cυνόντων, οἳ κατὰ πολὺ δυνατωτέρων cυκοφαντεῖν ἐπιχειροῦντες, ὅταν ἐκεῖνοι ἀντιcτῶcιν, εὐθέως ἀναχαιτίζονται.

---

ἐγγυτέρω ἐγένετο, οὐκέτι ναῦν, ἀλλὰ πλοῖον ἐδόκουν βλέπειν. ἐξενεχθέντα δὲ αὐτὰ φρύγανα ὄντα ἰδόντες πρὸς ἀλλήλους ἔφαcαν· 'ὡς ἄρα μάτην ἡμεῖς τὸ μηδὲν ὂν προcεδεχόμεθα'. — Ὁ μῦθος δηλοῖ ὅτι τῶν ἀνθρώπων ἔνιοι ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς πεῖραν ἔλθωcιν, οὐδενὸς εὑρίσκονται ἄξιοι. **FC** — [1—10] rest. **G** 4 διὸ προcέμενον ὡς μέλλουcαν προcορμίζεcθαι. Aug. 8 'τὸ μηδὲν ὂν ἡμεῖς μάτην προcδεχόμεθα'. Aug.

**259** **F** 284 = **C** 201 Aug. 125 Κολοιὸς λιμώττων ἐπί τινος cυκῆς ἐκάθιcεν (ἐκάθευδεν **F**). εὑρὼν δὲ τοὺς ὀλύνθους μηδέπω πεπείρους προcέμενεν ἕως cῦκα γένωνται (γίνωνται **F**). ἀλώπηξ δὲ θεαcαμένη αὐτὸν ἐγχρονίζοντα καὶ τὴν αἰτίαν (παρ' αὐτοῦ add. Aug.) μαθοῦcα ἔφη πρὸς αὐτόν (πρὸς αὐτόν om. Aug.)· 'ἀλλὰ πεπλάνηcαι, ὦ οὗτος, ἐλπίδι προcέχων, ἥτις βουκολεῖν μὲν οἶδε, τρέφειν δὲ οὐδαμῶς.' — Πρὸς ἄνδρα ἐν φιλονεικίαις φρεναπατούμενον (ἄνδρα φιλόνεικον Aug.) — 1—[8] rest. **G**

**260** **F** 292 = **C** 211 Aug. 131 Κύων θηρευτικὸς λέοντα ἰδὼν τοῦτον ἐδίωκεν. ὡς δὲ ἐπιcτραφεὶς ἐκεῖνος ἐβρυχήcατο, (ὁ κύων add. **FC**) φοβηθεὶς εἰς τοὐπίσω (τὰ ὀπίσω **FC**) ἔφυγεν. ἀλώπηξ δὲ θεαcαμένη αὐτὸν ἔφη· 'ὦ κακὴ κεφαλή, cὺ λέοντα ἐδίωκες, οὗ (οὗτινος **FC**) οὐδὲ τὸν βρυχηθμὸν ὑπέμεινας (ὑπήνεγκας **FC**);' **FC** Aug. — 1—6 rest. **G** epim. Aug.

## 261

Τόποις ἐρήμοις ἐμπλανώμενος λύκος
κλίνοντος ἤδη πρὸς δύσιν ⟨ποθ'⟩ ἡλίου
δολιχὴν ἑαυτοῦ τὴν σκιὴν ἰδὼν ἔφη·
'λέοντ' ἐγὼ δέδοικα τηλικοῦτος ὤν,
πλέθρου δ' ἔχων τὸ μῆκος; οὐ θηρῶν ἁπλῶς
πάντων δυνάστης ἀθρόων γενήσομαι;'
λύκον δὲ γαυρωθέντα καρτερὸς λέων
⟨ἑλὼν⟩ κατήσθι'· ὁ δ' ἐβόησε μετανοῶν·
'οἴησις ἡμῖν πημάτων παραιτίη'.

## 262

Αἴσωπος ὁ λογοποιὸς εἰς ναυπήγιον
σχολὴν ἄγων εἰσῆλθεν· εἰς δ' ἀπόκρισιν
χλευῇ τεχνιτῶν αὐτὸν ἐκκαλουμένων
'τὸ παλαιὸν ὕδωρ' εἶπεν 'ἦν ⟨τε⟩ καὶ χάος·
ὁ δὲ Ζεὺς τὸ γῆς στοιχεῖον ἀναδεῖξαι θέλων
ἐπὶ τρὶς ἐκέλευσε πόντον αὐτὴν ἐκροφεῖν.
ἄρξασα δ' ἥδε πρῶτον ἐξέφην' ὄρη·
τὰ δὲ πεδί' ἐγύμνωσ' ἐκροφοῦσ' ἐκ δευτέρου·
ἐὰν δὲ δόξῃ τὸ τρίτον ἐκπιεῖν ὕδωρ,
ἄχρηστος ὑμῖν ἡ τέχνη γενήσεται.'
[κρείττους γελῶντες λανθάνουσι μείζονας
ἀνίας ἑαυτοῖς ἔνθεν ἐπ⟨εκ⟩σπώμενοι.]

---

